# Appendix 1

## Ein Parallelkorpus von Paraphrasen auf Platon: Der ‚Goldstandard' des Projekts *Platon Digital*

*Eva Wöckener-Gade / Stephan Jödicke / Henning Ohst / Erik Pulz / Kevin Protze / Joachim Rautenberg / Friederike Schellhardt / Felix Schulze / André L. Visinoni*

Eine Sammlung von Paraphrasen zu platonischen Textstellen anzulegen, war eine der wichtigsten Grundlagen der Arbeit im Projekt, die nur durch das Zusammenwirken eines engagierten Teams möglich wurde. Die Sammlung von Textpassagen, von uns ‚Goldstandard' genannt, diente einem doppelten Zweck: einerseits als Prüfstein für die von uns entwickelten Verfahren zur Paraphrasensuche, andererseits zur Erweiterung unseres Wissens über das Phänomen Paraphrase in der griechischen Literatur der Antike. Um eine möglichst repräsentative Auswahl zu treffen, haben wir vor allem Paraphrasen bei einschlägigen Autoren unterschiedlicher Epochen von Aristoteles (4. Jh. v. Chr.) bis Olympiodor (6. Jh. n. Chr.) ausgewählt und zusätzlich eine Reihe von Paraphrasen zu Platons *Politeia* von verschiedenen Autoren aufgenommen. Für die Auswahl der Stellen konnten wir auf Vorarbeiten früherer Philologen zurückgreifen, so auf den Index Testimoniorum von Boter zur *Politeia*,[1] den Index Aristotelicus von Bonitz[2] sowie zahlreiche Textausgaben mit Apparatus Fontium. Um die einzelnen Instanzen näher zu charakterisieren und zu kategorisieren, wurde innerhalb der Projektarbeit der sogenannte Referenzannotierer entwickelt, mit welchem der gesamte ‚Goldstandard' annotiert wurde.[3] Das Parallelkorpus umfasst 216 Paraphrasen, die den entsprechenden Passagen bei Platon gegenübergestellt sind – unter diesen finden sich 33 Mehrfachnennungen, da teils mehr als eine Paraphrase derselben Stelle aufgenommen wurde.

Wir möchten die Sammlung als Ressource gern für weitere Forschung zur Verfügung stellen. Im Rahmen der Printausgabe ist das nur in Form einer Tabelle mit Texten möglich. Die Textgestaltung folgt hierbei jeweils derjenigen des TLG-E, aus dem unser Online-Korpus die einzelnen Textpassagen entnommen hat. Der digitalen Version der vorliegenden Publikation ist ein Export der annotierten Version des ‚Goldstandards' im JSON-Format beigefügt, der es erlaubt, nachzuvollziehen,

1 Boter (1989) 290–365.

2 Bonitz (1870), dort. 589 f. s. v. Πλάτων.

3 Vgl. hierzu ausführlicher Pöckelmann / Wöckener-Gade (2018).

welche Textabschnitte konkret als Paraphrase auf den Platontext bezogen werden können und wie die Paraphrase insgesamt kategorisiert werden kann. Die Textpassagen sind in dieser Reihenfolge angeordnet:


| | | |
|---|---|---|
| Nr. 1–52 | Aristoteles | S. 276 |
| Nr. 53–54 | Alexis | S. 284 |
| Nr. 55–71 | Plutarch | S. 286 |
| Nr. 72–95 | Plotin | S. 288 |
| Nr. 96–120 | Iamblich | S. 294 |
| Nr. 121–149 | Themistius | S. 302 |
| Nr. 150–183 | Proklos | S. 308 |
| Nr. 184–193 | Olympiodor | S. 316 |
| Nr. 194–217 | Paraphrasen zur *Politeia* | S. 318 |


| **Nr.** | **Textpassage bei Platon** |
|---|---|
| **1** | Plato *Respublica* 416d4–e4<br>πρῶτον μὲν οὐσίαν κεκτημένον μηδεμίαν μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη· ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι· τὰ δ᾽ ἐπιτήδεια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς συσσίτια ὥσπερ ἐστρατοπεδευμένους κοινῇ ζῆν· |
| **2** | Plato *Respublica* 399a3–4<br>Οὐδαμῶς, ἔφη· ἀλλὰ κινδυνεύει σοι δωριστὶ λείπεσθαι καὶ φρυγιστί. |
| **3** | Plato *Respublica* 469d9–e2<br>ἢ οἴει τι διάφορον δρᾶν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις οἷς ἂν βληθῶσι χαλεπαίνουσι, τοῦ βάλλοντος οὐχ ἁπτόμεναι; |
| **4** | Plato *Respublica* 488a8–b3<br>ναύκληρον μεγέθει μὲν καὶ ῥώμῃ ὑπὲρ τοὺς ἐν τῇ νηὶ πάντας, ὑπόκωφον δὲ καὶ ὁρῶντα ὡσαύτως βραχύ τι καὶ γιγνώσκοντα περὶ ναυτικῶν ἕτερα τοιαῦτα, [...]. |
| **5** | Plato *Respublica* 601b2–7<br>Οὐκοῦν, ἦν δ᾽ ἐγώ, ἔοικεν τοῖς τῶν ὡραίων προσώποις, καλῶν δὲ μή, οἷα γίγνεται ἰδεῖν ὅταν αὐτὰ τὸ ἄνθος προλίπῃ; |
| **6** | Plato *Respublica* 551d1–7<br>῞Εν μὲν δὴ τοῦτο τοσοῦτον ὀλιγαρχία ἂν ἔχοι ἁμάρτημα. Φαίνεται. Τί δέ; τόδε ἆρά τι τούτου ἔλαττον; Τὸ ποῖον; Τὸ μὴ μίαν ἀλλὰ δύο ἀνάγκῃ εἶναι τὴν τοιαύτην πόλιν, τὴν μὲν πενήτων, τὴν δὲ πλουσίων, οἰκοῦντας ἐν τῷ αὐτῷ ἀεὶ ἐπιβουλεύοντας ἀλλήλοις. |
| **7** | Plato *Leges* 780d9–781a5<br>ὑμῖν γάρ, ὦ Κλεινία καὶ Μέγιλλε, τὰ μὲν περὶ τοὺς ἄνδρας συσσίτια καλῶς ἅμα καί, ὅπερ εἶπον, θαυμαστῶς καθέστηκεν ἐκ θείας τινὸς ἀνάγκης τὸ δὲ περὶ τὰς γυναῖκας οὐδαμῶς ὀρθῶς ἀνομοθέτητον μεθεῖται καὶ οὐκ εἰς τὸ φῶς ἧκται τὸ τῆς συσσιτίας αὐτῶν ἐπιτήδευμα, ἀλλ᾽ ὃ καὶ ἄλλως γένος ἡμῶν τῶν ἀνθρώπων λαθραιότερον μᾶλλον καὶ ἐπικλοπώτερον ἔφυ, τὸ θῆλυ, διὰ τὸ ἀσθενές, οὐκ ὀρθῶς τοῦτο εἴξαντος τοῦ νομοθέτου δύστακτον ὂν ἀφείθη. |

| Textpassage der Paraphrase |
|---|
| Aristoteles *Politica* 1329b39–1330a5<br>περὶ δὲ τῆς διανομῆς καὶ τῶν γεωργούντων, τίνας καὶ ποίους εἶναι χρή, λεκτέον πρῶτον, ἐπειδὴ οὔτε κοινήν φαμεν εἶναι δεῖν τὴν κτῆσιν ὥσπερ τινὲς εἰρήκασιν, ἀλλὰ τῇ χρήσει φιλικῶς γινομένῃ κοινήν, οὔτ' ἀπορεῖν οὐθένα τῶν πολιτῶν τροφῆς. περὶ συσσιτίων τε συνδοκεῖ πᾶσι χρήσιμον εἶναι ταῖς εὖ κατεσκευασμέναις πόλεσιν ὑπάρχειν· |
| Aristoteles *Politica* 1342a32–b1<br>ὁ δ' ἐν τῇ Πολιτείᾳ Σωκράτης οὐ καλῶς τὴν φρυγιστὶ μόνην καταλείπει μετὰ τῆς δωριστί, καὶ ταῦτα ἀποδοκιμάσας τῶν ὀργάνων τὸν αὐλόν. |
| Aristoteles *Rhetorica* 1406b32–1407a1<br>καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα, καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκώφῳ δέ, καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις· |
| Aristoteles *Rhetorica* 1406b35–36<br>καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα, καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκώφῳ δέ καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις· |
| Aristoteles *Rhetorica* 1406b32–1407a1<br>καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες ἐοίκασι τοῖς κυνιδίοις ἃ τοὺς λίθους δάκνει, τοῦ βάλλοντος οὐχ ἁπτόμενα, καὶ ἡ εἰς τὸν δῆμον, ὅτι ὅμοιος ναυκλήρῳ ἰσχυρῷ μὲν ὑποκώφῳ δέ, καὶ ἡ εἰς τὰ μέτρα τῶν ποιητῶν, ὅτι ἔοικε τοῖς ἄνευ κάλλους ὡραίοις· οἱ μὲν γὰρ ἀπανθήσαντες, τὰ δὲ διαλυθέντα οὐχ ὅμοια φαίνεται. |
| Aristoteles *Politica* 1316b6–7<br>ἄτοπον δὲ καὶ τὸ φάναι δύο πόλεις εἶναι τὴν ὀλιγαρχικήν, πλουσίων καὶ πενήτων. |
| Aristoteles *Politica* 1265a6–9<br>καὶ γὰρ παιδείαν τὴν αὐτήν, καὶ τὸ τῶν ἔργων τῶν ἀναγκαίων ἀπεχομένους ζῆν, καὶ περὶ συσσιτίων ὡσαύτως· πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν, καὶ τὴν μὲν χιλίων τῶν ὅπλα κεκτημένων, ταύτην δὲ πεντακισχιλίων. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **8** | Plato *Leges* 737e1–3<br>Πεντάκις μὲν χίλιοι ἔστωσαν καὶ τετταράκοντα, ἀριθμοῦ τινος ἕνεκα προσήκοντος, γεωμόροι τε καὶ ἀμυνοῦντες τῇ νομῇ· |
| **9** | Plato *Leges* 734e6–735a4<br>καθάπερ οὖν δή τινα συνυφὴν ἢ καὶ πλέγμ' ἄλλ' ὁτιοῦν, οὐκ ἐκ τῶν αὐτῶν οἷόν τ' ἐστὶν τήν τε ἐφυφὴν καὶ τὸν στήμονα ἀπεργάζεσθαι, διαφέρειν δ' ἀναγκαῖον τὸ τῶν στημόνων πρὸς ἀρετὴν γένος – ἰσχυρόν τε γὰρ καί τινα βεβαιότητα ἐν τοῖς τρόποις εἰληφός, τὸ δὲ μαλακώτερον καὶ ἐπιεικείᾳ τινὶ δικαίᾳ χρώμενον – ὅθεν δὴ τοὺς τὰς ἀρχὰς ἐν ταῖς πόλεσιν ἄρξοντας δεῖ διακρίνεσθαί τινα τρόπον ταύτῃ καὶ τοὺς σμικρᾷ παιδείᾳ βασανισθέντας ἑκάστοτε κατὰ λόγον. |
| **10** | Plato *Phaedrus* 245e6–246a2<br>εἰ δ' ἔστιν τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ ἑαυτὸ κινοῦν ἢ ψυχήν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. |
| **11** | Plato *Phaedrus* 245e6–246a2<br>εἰ δ' ἔστιν τοῦτο οὕτως ἔχον, μὴ ἄλλο τι εἶναι τὸ αὐτὸ ἑαυτὸ κινοῦν ἢ ψυχήν, ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη. |
| **12** | Plato *Gorgias* 482e2–483e6<br>σὺ γὰρ τῷ ὄντι, ὦ Σώκρατες, εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, φάσκων τὴν ἀλήθειαν διώκειν, ἃ φύσει μὲν οὐκ ἔστιν καλά, νόμῳ δέ. ὡς τὰ πολλὰ δὲ ταῦτα ἐναντί' ἀλλήλοις ἐστίν, ἥ τε φύσις καὶ ὁ νόμος· |
| **13** | Plato *Menexenus* 235d1–5<br>εἰσὶν ἑκάστοις τούτων λόγοι παρεσκευασμένοι, καὶ ἅμα οὐδὲ αὐτοσχεδιάζειν τά γε τοιαῦτα χαλεπόν. εἰ μὲν γὰρ δέοι Ἀθηναίους ἐν Πελοποννησίοις εὖ λέγειν ἢ Πελοποννησίους ἐν Ἀθηναίοις, ἀγαθοῦ ῥήτορος δέοι τοῦ πείσοντος ἂν καὶ εὐδοκιμήσοντος· |
| **14** | Plato *Menexenus* 236a3–6<br>ἀλλὰ καὶ ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθηναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. |
| **15** | Plato *Menexenus* 236a3–6<br>ἀλλὰ καὶ ὅστις ἐμοῦ κάκιον ἐπαιδεύθη, μουσικὴν μὲν ὑπὸ Λάμπρου παιδευθείς, ῥητορικὴν δὲ ὑπ' Ἀντιφῶντος τοῦ Ῥαμνουσίου, ὅμως κἂν οὗτος οἷός τ' εἴη Ἀθηναίους γε ἐν Ἀθηναίοις ἐπαινῶν εὐδοκιμεῖν. |
| **16** | Plato *Apologia Socratis* 27c10–d1<br>τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα ἢ θεῶν παῖδας; |
| **17** | Plato *Apologia Socratis* 27d8–10<br>εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσιν νόθοι τινὲς ἢ ἐκ νυμφῶν ἢ ἔκ τινων ἄλλων ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; |
| **18** | Plato *Apologia Socratis* 27e5–28a1<br>ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν ἔχοντα ἀνθρώπων, ὡς οὐ τοῦ αὐτοῦ ἔστιν καὶ δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ μήτε δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή ἐστιν. |

| Textpassage der Paraphrase |
|---|
| Aristoteles *Politica* 1265a6–10<br>πλὴν ἐν ταύτῃ φησὶ δεῖν εἶναι συσσίτια καὶ γυναικῶν, καὶ τὴν μὲν χιλίων τῶν ὅπλα κεκτημένων, ταύτην δὲ πεντακισχιλίων. |
| Aristoteles *Politica* 1265b19–21<br>φησὶ γὰρ δεῖν, ὥσπερ ἐξ ἑτέρου τὸ στημόνιον ἐρίου γίνεται τῆς κρόκης, οὕτω καὶ τοὺς ἄρχοντας ἔχειν δεῖν πρὸς τοὺς ἀρχομένους. |
| Aristoteles *Topica* 140b2–4<br>τοιοῦτος δὲ καὶ ὁ τῆς ψυχῆς ὅρος, εἴπερ “ἀριθμὸς αὐτὸς αὑτὸν κινῶν” ἐστιν· καὶ γὰρ τὸ αὐτὸ αὑτὸ κινοῦν ψυχή, καθάπερ Πλάτων ὥρισται. |
| Aristoteles *Metaphysica* 1071b37–1072a3<br>ἀλλὰ μὴν οὐδὲ Πλάτωνί γε οἷόν τε λέγειν ἣν οἴεται ἐνίοτε ἀρχὴν εἶναι, τὸ αὐτὸ ἑαυτὸ κινοῦν· ὕστερον γὰρ καὶ ἅμα τῷ οὐρανῷ ἡ ψυχή, ὡς φησίν. |
| Aristoteles *Sophistici elenchi* 173a7–14<br>Πλεῖστος δὲ τόπος ἐστὶ τοῦ ποιεῖν παράδοξα λέγειν, ὥσπερ καὶ ὁ Καλλικλῆς ἐν τῷ Γοργίᾳ γέγραπται λέγων, καὶ οἱ ἀρχαῖοι δὲ πάντες ᾤοντο συμβαίνειν, παρὰ τὸ κατὰ φύσιν καὶ κατὰ τὸν νόμον· ἐναντία γὰρ εἶναι φύσιν καὶ νόμον, καὶ τὴν δικαιοσύνην κατὰ νόμον μὲν εἶναι καλόν, κατὰ φύσιν δ’ οὐ καλόν. |
| Aristoteles *Rhetorica* 1415b30–32<br>ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλ’ ἐν Λακεδαιμονίοις. |
| Aristoteles *Rhetorica* 1415b30–32<br>ὃ γὰρ λέγει Σωκράτης ἐν τῷ ἐπιταφίῳ, ἀληθές, ὅτι οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν, ἀλλ’ ἐν Λακεδαιμονίοις. |
| Aristoteles *Rhetorica* 1367b7–9<br>σκοπεῖν δὲ καὶ παρ οἷς ὁ ἔπαινος· ὥσπερ γὰρ ὁ Σωκράτης ἔλεγεν, οὐ χαλεπὸν Ἀθηναίους ἐν Ἀθηναίοις ἐπαινεῖν. |
| Aristoteles *Rhetorica* 1419a6–12<br>Πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερὸν ἀλλὰ τὸ συμπέρασμα εἰπεῖνοἷον Σωκράτης, Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι, ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δὲ “ἔστιν οὖν”, ἔφη, “ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ;” |
| Aristoteles *Rhetorica* 1419a6–12<br>πυθόμενον μὲν γὰρ δεῖ τὴν μίαν πρότασιν μὴ προσερωτᾶν τὸ φανερὸν ἀλλὰ τὸ συμπέρασμα εἰπεῖνοἷον Σωκράτης, Μελήτου οὐ φάσκοντος αὐτὸν θεοὺς νομίζειν, εἰρηκότος δὲ ὡς δαιμόνιόν τι λέγοι, ἤρετο εἰ οὐχ οἱ δαίμονες ἤτοι θεῶν παῖδες εἶεν ἢ θεῖόν τι, φήσαντος δὲ “ἔστιν οὖν”, ἔφη, “ὅστις θεῶν μὲν παῖδας οἴεται εἶναι, θεοὺς δὲ οὔ;” |
| Aristoteles *Rhetorica* 1398a15–17<br>ἄλλος ἐξ ὁρισμοῦ, οἷον τί τὸ δαιμόνιόν ἐστιν· “ἆρα θεὸς ἢ θεοῦ ἔργον; καίτοι ὅστις οἴεται θεοῦ ἔργον εἶναι, τοῦτον ἀνάγκη οἴεσθαι καὶ θεοὺς εἶναι.” |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **19** | Plato *Theaetus* 181c6–7<br>καί μοι λέγε· ἆρα κινεῖσθαι καλεῖς ὅταν τι χώραν ἐκ χώρας μεταβάλλῃ ἢ καὶ ἐν τῷ αὐτῷ στρέφηται; |
| **20** | Plato *Philebus* 53c4–5<br>ἆρα περὶ ἡδονῆς οὐκ ἀκηκόαμεν ὡς ἀεὶ γένεσίς ἐστιν, οὐσία δὲ οὐκ ἔστι τὸ παράπαν ἡδονῆς; |
| **21** | Plato *Protagoras* 321c3–6<br>ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῷα ἐμμελῶς πάντων ἔχοντα, τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· |
| **22** | Plato *Protagoras* 328b5–c2<br>διὰ ταῦτα καὶ τὸν τρόπον τῆς πράξεως τοῦ μισθοῦ τοιοῦτον πεποίημαι· ἐπειδὰν γάρ τις παρ' ἐμοῦ μάθῃ, ἐὰν μὲν βούληται, ἀποδέδωκεν ὃ ἐγὼ πράττομαι ἀργύριον ἐὰν δὲ μή, ἐλθὼν εἰς ἱερόν, ὀμόσας ὅσου ἂν φῇ ἄξια εἶναι τὰ μαθήματα, τοσοῦτον κατέθηκε. |
| **23** | Plato *Protagoras* 345d6–9<br>οὐ γὰρ οὕτως ἀπαίδευτος ἦν Σιμωνίδης, ὥστε τούτους φάναι ἐπαινεῖν, ὃς ἂν ἑκὼν μηδὲν κακὸν ποιῇ, ὡς ὄντων τινῶν οἳ ἑκόντες κακὰ ποιοῦσιν. |
| **24** | Plato *Timaeus* 86d7–e3<br>κακὸς μὲν γὰρ ἑκὼν οὐδείς, διὰ δὲ πονηρὰν ἕξιν τινὰ τοῦ σώματος καὶ ἀπαίδευτον τροφὴν ὁ κακὸς γίγνεται κακός, παντὶ δὲ ταῦτα ἐχθρὰ καὶ ἄκοντι προσγίγνεται. |
| **25** | Plato *Protagoras* 352b5–c2<br>οὐδὲ ὡς περὶ τοιούτου αὐτοῦ ὄντος διανοοῦνται, ἀλλ' ἐνούσης πολλάκις ἀνθρώπῳ ἐπιστήμης οὐ τὴν ἐπιστήμην αὐτοῦ ἄρχειν ἀλλ' ἄλλο τι, τοτὲ μὲν θυμόν, τοτὲ δὲ ἡδονήν, τοτὲ δὲ λύπην, ἐνίοτε δὲ ἔρωτα, πολλάκις δὲ φόβον, ἀτεχνῶς διανοούμενοι περὶ τῆς ἐπιστήμης ὥσπερ περὶ ἀνδραπόδου, περιελκομένης ὑπὸ τῶν ἄλλων ἁπάντων. |
| **26** | Plato *Protagoras* 360d4–5<br>Ἡ σοφία ἄρα τῶν δεινῶν καὶ μὴ δεινῶν ἀνδρεία ἐστίν, ἐναντία οὖσα τῇ τούτων ἀμαθίᾳ; |
| **27** | Plato *Euthydemus* 279d6–7<br>Ἡ σοφία δήπου, ἦν δ' ἐγώ, εὐτυχία ἐστίν· τοῦτο δὲ κἂν παῖς γνοίη. |
| **28** | Plato *Sophistes* 258d2–7<br>Οὐ γὰρ μή ποτε τοῦτο δαμῇ, εἶναι μὴ ἐόντα, ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα. ΘΕΑΙ. Λέγει γὰρ οὖν οὕτως. ΞΕ. Ἡμεῖς δέ γε οὐ μόνον τὰ μὴ ὄντα ὡς ἔστιν ἀπεδείξαμεν, ἀλλὰ καὶ τὸ εἶδος ὃ τυγχάνει ὂν τοῦ μὴ ὄντος ἀπεφηνάμεθα· |
| **29** | Plato *Sophistes* 253e–254a<br>Τὸν μὲν δὴ φιλόσοφον ἐν τοιούτῳ τινὶ τόπῳ καὶ νῦν καὶ ἔπειτα ἀνευρήσομεν ἐὰν ζητῶμεν, ἰδεῖν μὲν χαλεπὸν ἐναργῶς καὶ τοῦτον, ἕτερον μὴν τρόπον ἥ τε τοῦ σοφιστοῦ χαλεπότης ἥ τε τούτου. ΘΕΑΙ. Πῶς; ΞΕ. Ὁ μὲν ἀποδιδράσκων εἰς τὴν τοῦ μὴ ὄντος σκοτεινότητα, τριβῇ προσαπτόμενος αὐτῆς, διὰ τὸ σκοτεινὸν τοῦ τόπου κατανοῆσαι χαλεπός· ἦ γάρ; |
| **30** | Plato *Respublica* 296b5–8<br>Ἂν τις ἄρα μὴ πείθων τὸν ἰατρευόμενον, ἔχων δὲ ὀρθῶς τὴν τέχνην, παρὰ τὰ γεγραμμένα τὸ βέλτιον ἀναγκάζῃ δρᾶν παῖδα ἤ τινα ἄνδρα ἢ καὶ γυναῖκα, τί τοὔνομα τῆς βίας ἔσται ταύτης; |

| **Textpassage der Paraphrase** |
| --- |
| Aristoteles *Topica* 122b25–27<br>Ἔτι εἰ τὸ γένος εἰς τὸ εἶδος ἔθηκεν, οἷον τὴν ἅψιν ὅπερ συνοχὴν ἢ τὴν μεῖξιν ὅπερ κρᾶσιν, ἢ ὡς Πλάτων ὁρίζεται φορὰν τὴν κατὰ τόπον κίνησιν. |
| Aristoteles *Magna moralia* 1204a33–36 (2.7.3.4–2.7.3.6)<br>Πρῶτον μὲν γάρ φασιν εἶναι τὴν ἡδονὴν γένεσιν, τὴν δὲ γένεσιν ἀτελές τι, τὸ δὲ ἀγαθὸν οὐδέποτε τὴν τοῦ ἀτελοῦς χώραν ἔχειν. |
| Aristoteles *De partibus animalium* 687a23–26<br>Ἀλλ’ οἱ λέγοντες ὡς συνέστηκεν οὐ καλῶς ὁ ἄνθρωπος ἀλλὰ χείριστα τῶν ζῴων (ἀνυπόδητόν τε γὰρ αὐτὸν εἶναί φασι καὶ γυμνὸν καὶ οὐκ ἔχοντα ὅπλον πρὸς τὴν ἀλκήν) οὐκ ὀρθῶς λέγουσιν. |
| Aristoteles *Ethica Nicomachea* 1164a24–27<br>ὅπερ φασὶ καὶ Πρωταγόραν ποιεῖν· ὅτε γὰρ διδάξειεν ἁδήποτε, τιμῆσαι τὸν μαθόντα ἐκέλευεν ὅσου δοκεῖ ἄξια ἐπίστασθαι, καὶ ἐλάμβανε τοσοῦτον. ἐν τοῖς τοιούτοις δ’ ἐνίοις ἀρέσκει τὸ “μισθὸς δ’ ἀνδρί.” |
| Aristoteles *Ethica Nicomachea* 1113b14–16<br>τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς οὐδ’ ἄκων μακάριος ἔοικε τὸ μὲν ψευδεῖ τὸ δ’ ἀληθεῖ. |
| Aristoteles *Ethica Nicomachea* 1113b14–15<br>τὸ δὲ λέγειν ὡς οὐδεὶς ἑκὼν πονηρὸς οὐδ’ ἄκων μακάριος ἔοικε τὸ μὲν ψευδεῖ τὸ δ’ ἀληθεῖ. |
| Aristoteles *Ethica Nicomachea* 1145b23–24<br>δεινὸν γὰρ ἐπιστήμης ἐνούσης, ὡς ᾤετο Σωκράτης, ἄλλο τι κρατεῖν καὶ περιέλκειν αὐτὴν ὥσπερ ἀνδράποδον. |
| Aristoteles *Ethica Eudemia* 1229a12–16<br>ἔστι δ’ εἴδη ἀνδρείας πέντε λεγόμενα καθ’ ὁμοιότητα· <τὰ> αὐτὰ γὰρ ὑπομένουσιν, ἀλλ’ οὐ διὰ τὰ αὐτά. μία μὲν πολιτική· αὕτη δ’ ἐστὶν ἡ δι’ αἰδῶ οὖσα. δευτέρα ἡ στρατιωτική· αὕτη δὲ δι’ἐμπειρίαν καὶ τὸ εἰδέναι, οὐχ ὥσπερ Σωκράτης ἔφη τὰ δεινά, ἀλλ’ ὅτι τὰς βοηθείας τῶν δεινῶν. |
| Aristoteles *Ethica Eudemia* 1247b11–15<br>οὐκ ἄρα ἔσται τύχης τοῦτο, ἀλλ’ ὅταν τὸ αὐτὸ ἀποβαίνῃ, ἀπείρων καὶ ἀορίστων, ἔσται μὲν τὸ ἀγαθὸν ἢ κακόν, ἐπιστήμη δ’ οὐκ ἔσται αὐτοῦ [ἢ] δι’ ἀπειρίαν, ἐπεὶ ἐμάνθανον ἄν τινες εὐτυχεῖν, ἢ καὶ πᾶσαι ἂν αἱ ἐπιστῆμαι, ὥσπερ ἔφη Σωκράτης, εὐτυχίαι ἦσαν. |
| Aristoteles *Metaphysica* 1089a2–5<br>ἔδοξε γὰρ αὐτοῖς πάντ’ ἔσεσθαι ἓν τὰ ὄντα, αὐτὸ τὸ ὄν, εἰ μή τις λύσει καὶ ὁμόσε βαδιεῖται τῷ Παρμενίδου λόγῳ “οὐ γὰρ μήποτε τοῦτο δαμῇ, εἶναι μὴ ἐόντα,” ἀλλ’ ἀνάγκη εἶναι τὸ μὴ ὂν δεῖξαι ὅτι ἔστιν· |
| Aristoteles *Metaphysica* 1026b14–21<br>διὸ Πλάτων τρόπον τινὰ οὐ κακῶς τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν. εἰσὶ γὰρ οἱ τῶν σοφιστῶν λόγοι περὶ τὸ συμβεβηκὸς ὡς εἰπεῖν μάλιστα πάντων πότερον ἕτερον ἢ ταὐτὸν μουσικὸν καὶ γραμματικόν, καὶ μουσικὸς Κορίσκος καὶ Κορίσκος, καὶ εἰ πᾶν ὃ ἂν ᾖ, μὴ ἀεὶ δέ, γέγονεν, ὥστ’ εἰ μουσικὸς ὢν γραμματικὸς γέγονε, καὶ γραμματικὸς ὢν μουσικός, καὶ ὅσοι δὴ ἄλλοι τοιοῦτοι τῶν λόγων εἰσίν· |
| Aristoteles *Politica* 1287a32–35<br>τὸ δὲ τῶν τεχνῶν εἶναι δοκεῖ παράδειγμα ψεῦδος, ὅτι τὸ κατὰ γράμματα ἰατρεύεσθαι φαῦλον, ἀλλὰ αἱρετώτερον χρῆσθαι τοῖς ἔχουσι τὰς τέχνας. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **31** | Plato *Respublica* 303a7–8<br>διὸ γέγονε πασῶν μὲν νομίμων τῶν πολιτειῶν οὐσῶν τούτων χειρίστη, παρανόμων δὲ οὐσῶν συμπασῶν βελτίστη· |
| **32** | Plato *Cratylus* 399d10–e3<br>Ὡς μὲν τοίνυν ἐκ τοῦ παραχρῆμα λέγειν, οἶμαί τι τοιοῦτον νοεῖν τοὺς τὴν ψυχὴν ὀνομάσαντας, ὡς τοῦτο ἄρα, ὅταν παρῇ τῷ σώματι, αἴτιόν ἐστι τοῦ ζῆν αὐτῷ, τὴν τοῦ ἀναπνεῖν δύναμιν παρέχον καὶ ἀναψῦχον, ἅμα δὲ ἐκλείποντος τοῦ ἀναψύχοντος τὸ σῶμα ἀπόλλυταί τε καὶ τελευτᾷ· ὅθεν δή μοι δοκοῦσιν αὐτὸ "ψυχὴν" καλέσαι. |
| **33** | Plato *Lysis* 212d4–5<br>Οὐκ ἄρα ἐστὶν φίλον τῷ φιλοῦντι οὐδὲν μὴ οὐκ ἀντιφιλοῦν. |
| **34** | Plato *Lysis* 214c6–d1<br>Ἀλλά μοι δοκοῦσιν λέγειν τοὺς ἀγαθοὺς ὁμοίους εἶναι ἀλλήλοις καὶ φίλους, τοὺς δὲ κακούς, ὅπερ καὶ λέγεται περὶ αὐτῶν, μηδέποτε ὁμοίους μηδ' αὐτοὺς αὑτοῖς εἶναι, ἀλλ' ἐμπλήκτους τε καὶ ἀσταθμήτους· |
| **35** | Plato *Gorgias* 448c5–7<br>ἐμπειρία μὲν γὰρ ποιεῖ τὸν αἰῶνα ἡμῶν πορεύεσθαι κατὰ τέχνην, ἀπειρία δὲ κατὰ τύχην. |
| **36** | Plato *Laches* 198b8–10<br>δέος γὰρ εἶναι προσδοκίαν μέλλοντος κακοῦ – ἢ οὐχ οὕτω καὶ συνδοκεῖ, ὦ Λάχης; |
| **37** | Plato *Charmides* 168d9–10<br>Καὶ ἡ ὄψις γέ που, ὦ ἄριστε, εἴπερ ὄψεται αὐτὴ ἑαυτήν, χρῶμά τι αὐτὴν ἀνάγκη ἔχειν· |
| **38** | Plato Respublica 464b5–6<br>Τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν πέφανται ἡ κοινωνία τοῖς ἐπικούροις τῶν τε παίδων καὶ τῶν γυναικῶν. |
| **39** | Plato *Respublica* 462a9–b1<br>Ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει ἢ ἐκεῖνο ὃ ἂν αὐτὴν διασπᾷ καὶ ποιῇ πολλὰς ἀντὶ μιᾶς; |
| **40** | Plato *Respublica* 463e3–5<br>Πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ συμφωνήσουσιν ἑνός τινος ἢ εὖ ἢ κακῶς πράττοντος ὃ νυνδὴ ἐλέγομεν τὸ ῥῆμα, τὸ ὅτι τὸ ἐμὸν εὖ πράττει ἢ ὅτι τὸ ἐμὸν κακῶς. |
| **41** | Plato *Respublica* 548b4–c2<br>Οὐκοῦν καὶ φειδωλοὶ χρημάτων, ἅτε τιμῶντες καὶ οὐ φανερῶς κτώμενοι, φιλαναλωταὶ δὲ ἀλλοτρίων δι' ἐπιθυμίαν, καὶ λάθρᾳ τὰς ἡδονὰς καρπούμενοι, ὥσπερ παῖδες πατέρα τὸν νόμον ἀποδιδράσκοντες, οὐχ ὑπὸ πειθοῦς ἀλλ' ὑπὸ βίας πεπαιδευμένοι διὰ τὸ τῆς ἀληθινῆς Μούσης τῆς μετὰ λόγων τε καὶ φιλοσοφίας ἠμεληκέναι καὶ πρεσβυτέρως γυμναστικὴν μουσικῆς τετιμηκέναι. |
| **42** | Plato *Leges* 762e1–7<br>δεῖ δὴ πάντ' ἄνδρα διανοεῖσθαι περὶ ἁπάντων ἀνθρώπων ὡς ὁ μὴ δουλεύσας οὐδ' ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου, καὶ καλλωπίζεσθαι χρὴ τῷ καλῶς δουλεῦσαι μᾶλλον ἢ τῷ καλῶς ἄρξαι, πρῶτον μὲν τοῖς νόμοις, ὡς ταύτην τοῖς θεοῖς οὖσαν δουλείαν, ἔπειτ' ἀεὶ τοῖς πρεσβυτέροις τε καὶ ἐντίμως βεβιωκόσι τοὺς νέους. |

| **Textpassage der Paraphrase** |
|---|
| Aristoteles *Politica* 1289b6–9<br>ἐκεῖνος μὲν γὰρ ἔκρινε πασῶν μὲν οὐσῶν ἐπιεικῶν, οἷον ὀλιγαρχίας τε χρηστῆς καὶ τῶν ἄλλων, χειρίστην δημοκρατίαν, φαύλων δὲ ἀρίστην. |
| Aristoteles *De anima* 405b26–30<br>διὸ καὶ τοῖς ὀνόμασιν ἀκολουθοῦσιν, οἱ μὲν τὸ θερμὸν λέγοντες, ὅτι διὰ τοῦτο καὶ τὸ ζῆν ὠνόμασται, οἱ δὲ τὸ ψυχρόν, <διὰ τὸ> διὰ τὴν ἀναπνοὴν καὶ τὴν κατάψυξιν καλεῖσθαι ψυχήν. τὰ μὲν οὖν παραδεδομένα περὶ ψυχῆς, καὶ δι᾽ ἃς αἰτίας λέγουσιν οὕτω, ταῦτ᾽ ἐστίν. |
| Aristoteles *Ethica Nicomachea* 1155b27–31<br>τριῶν δ᾽ ὄντων δι᾽ ἃ φιλοῦσιν, ἐπὶ μὲν τῇ τῶν ἀψύχων φιλήσει οὐ λέγεται φιλία· οὐ γάρ ἐστιν ἀντιφίλησις, οὐδὲ βούλησις ἐκείνῳ ἀγαθοῦ (γελοῖον γὰρ ἴσως τῷ οἴνῳ βούλεσθαι τἀγαθά, ἀλλ᾽ εἴπερ, σῴζεσθαι βούλεται αὐτόν, ἵνα αὐτὸς ἔχῃ)· |
| Aristoteles *Ethica Nicomachea* 1159b7–10<br>οἱ δὲ μοχθηροὶ τὸ μὲν βέβαιον οὐκ ἔχουσιν· οὐδὲ γὰρ αὑτοῖς διαμένουσιν ὅμοιοι ὄντες· ἐπ᾽ ὀλίγον δὲ χρόνον γίνονται φίλοι, χαίροντες τῇ ἀλλήλων μοχθηρίᾳ. |
| Aristoteles *Metaphysica* 981a3–5<br>ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὡς φησὶ Πῶλος, ἡ δ᾽ ἀπειρία τύχην. |
| Aristoteles *Ethica Nicomachea* 1115a7–9<br>φοβούμεθα δὲ δῆλον ὅτι τὰ φοβερά, ταῦτα δ᾽ ἐστὶν ὡς ἁπλῶς εἰπεῖν κακά· διὸ καὶ τὸν φόβον ὁρίζονται προσδοκίαν κακοῦ. |
| Aristoteles *De anima* 425b17–19<br>εἰ γὰρ τὸ τῇ ὄψει αἰσθάνεσθαί ἐστιν ὁρᾶν, ὁρᾶται δὲ χρῶμα ἢ τὸ ἔχον, εἰ ὄψεταί τις τὸ ὁρῶν, καὶ χρῶμα ἕξει τὸ ὁρῶν πρῶτον. |
| Aristoteles *Politica* 1261a4–6<br>ἐνδέχεται γὰρ καὶ τέκνων καὶ γυναικῶν καὶ κτημάτων κοινωνεῖν τοὺς πολίτας ἀλλήλοις, ὥσπερ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος· |
| Aristoteles *Politica* 1261b6–9<br>φανερὸν τοίνυν ἐκ τούτων ὡς οὔτε πέφυκε μίαν οὕτως εἶναι τὴν πόλιν ὥσπερ λέγουσί τινες, καὶ τὸ λεχθὲν ὡς μέγιστον ἀγαθὸν ἐν ταῖς πόλεσιν ὅτι τὰς πόλεις ἀναιρεῖ· |
| Aristoteles *Politica* 1262a1–5<br>ἔτι οὕτως ἕκαστος “ἐμὸς” λέγει τὸν εὖ πράττοντα τῶν πολιτῶν ἢ κακῶς, ὁπόστος τυγχάνει τὸν ἀριθμὸν ὤν, οἷον ἐμὸς ἢ τοῦ δεῖνος, τοῦτον τὸν τρόπον λέγων καθ᾽ ἕκαστον τῶν χιλίων, ἢ ὅσων ἡ πόλις ἐστί, καὶ τοῦτο διστάζων· |
| Aristoteles *Politica* 1270b32–35<br>αὐτὴ μὲν γὰρ ἀνειμένη λίαν ἐστίν, ἐν δὲ τοῖς ἄλλοις μᾶλλον ὑπερβάλλει ἐπὶ τὸ σκληρόν, ὥστε μὴ δύνασθαι καρτερεῖν ἀλλὰ λάθρᾳ τὸν νόμον ἀποδιδράσκοντας ἀπολαύειν τῶν σωματικῶν ἡδονῶν. |
| Aristoteles *Politica* 1277b11–13<br>διὸ λέγεται καὶ τοῦτο καλῶς, ὡς οὐκ ἔστιν εὖ ἄρξαι μὴ ἀρχθέντα. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **43** | Plato *Phaedo* 99c8–d2<br>ἐπειδὴ δὲ ταύτης ἐστερήθην καὶ οὔτ’ αὐτὸς εὑρεῖν οὔτε παρ’ ἄλλου μαθεῖν οἷός τε ἐγενόμην, τὸν δεύτερον πλοῦν ἐπὶ τὴν τῆς αἰτίας ζήτησιν ᾗ πεπραγμάτευμαι βούλει σοι, ἔφη, ἐπίδειξιν ποιήσωμαι, ὦ Κέβης; |
| **44** | Plato *Respublica* 343c1–d1<br>καὶ οὕτω πόρρω εἶ περί τε τοῦ δικαίου καὶ δικαιοσύνης καὶ ἀδίκου τε καὶ ἀδικίας, ὥστε ἀγνοεῖς ὅτι ἡ μὲν δικαιοσύνη καὶ τὸ δίκαιον ἀλλότριον ἀγαθὸν τῷ ὄντι, τοῦ κρείττονός τε καὶ ἄρχοντος συμφέρον, οἰκεία δὲ τοῦ πειθομένου τε καὶ ὑπηρετοῦντος βλάβη, ἡ δὲ ἀδικία τοὐναντίον, καὶ ἄρχει τῶν ὡς ἀληθῶς εὐηθικῶν τε καὶ δικαίων, οἱ δ’ ἀρχόμενοι ποιοῦσιν τὸ ἐκείνου συμφέρον κρείττονος ὄντος, καὶ εὐδαίμονα ἐκεῖνον ποιοῦσιν ὑπηρετοῦντες αὐτῷ, ἑαυτοὺς δὲ οὐδ’ ὁπωστιοῦν. |
| **45** | Plato *Cratylus* 411e4–412a1<br>“σωφροσύνη” δὲ σωτηρία οὗ νυνδὴ ἐσκέμμεθα, φρονήσεως. |
| **46** | Plato *Euthydemus* 273a6–b1<br>ὄπισθεν δὲ αὐτοῦ ἐρασταὶ πάνυ πολλοί τε καὶ ἄλλοι καὶ Κτήσιππος,νεανίσκος τις Παιανιεύς, μάλα καλός τε κἀγαθὸς τὴν φύσιν, ὅσον μὴ ὑβριστὴς [δὲ] διὰ τὸ νέος εἶναι. |
| **47** | Plato *Apologia Socratis* 21d3–6<br>κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ’ οὗτος μὲν οἴεταί τι εἰδέναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ οἴομαι· |
| **48** | Plato *Symposium* 179d7–180a2<br>τοιγάρτοι διὰ ταῦτα δίκην αὐτῷ ἐπέθεσαν, καὶ ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι, οὐχ ὥσπερ Ἀχιλλέα τὸν τῆς Θέτιδος ὑὸν ἐτίμησαν καὶ εἰς μακάρων νήσους ἀπέπεμψαν, ὅτι πεπυσμένος παρὰ τῆς μητρὸς ὡς ἀποθανοῖτο ἀποκτείνας Ἕκτορα, μὴ ποιήσας δὲ τοῦτο οἴκαδε ἐλθὼν γηραιὸς τελευτήσοι, ἐτόλμησεν ἑλέσθαι βοηθήσας τῷ ἐραστῇ Πατρόκλῳ καὶ τιμωρήσας οὐ μόνον ὑπεραποθανεῖν ἀλλὰ καὶ ἐπαποθανεῖν τετελευτηκότι· |
| **49** | Plato *Symposium* 182c1–7<br>οὐ γὰρ οἶμαι συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων, οὐδὲ φιλίας ἰσχυρὰς καὶ κοινωνίας, ὃ δὴ μάλιστα φιλεῖ τά τε ἄλλα πάντα καὶ ὁ ἔρως ἐμποιεῖν. ἔργῳ δὲ τοῦτο ἔμαθον καὶ οἱ ἐνθάδε τύραννοι· ὁ γὰρ Ἀριστογείτονος ἔρως καὶ ἡ Ἁρμοδίου φιλία βέβαιος γενομένη κατέλυσεν αὐτῶν τὴν ἀρχήν. |
| **50** | Plato *Respublica* 259b3–7<br>ΞΕ. Ταύτην δὲ ὁ κεκτημένος οὐκ, ἄντε ἄρχων ἄντε ἰδιώτης ὢν τυγχάνῃ, πάντως κατά γε τὴν τέχνην αὐτὴν βασιλικὸς ὀρθῶς προσρηθήσεται; ΝΕ. ΣΩ. Δίκαιον γοῦν. ΞΕ. Καὶ μὴν οἰκονόμος γε καὶ δεσπότης ταὐτόν. |
| **51** | Plato *Politicus* 259b9–11<br>μεγάλης σχῆμα οἰκήσεως ἢ σμικρᾶς αὖ πόλεως ὄγκος μῶν τι πρὸς ἀρχὴν διοίσετον; ΝΕ. ΣΩ. Οὐδέν. |
| **52** | Plato *Respublica* 259c1–4<br>Οὐκοῦν, ὃ νυνδὴ διεσκοπούμεθα, φανερὸν ὡς ἐπιστήμη μία περὶ πάντ’ ἐστὶ ταῦτα· ταύτην δὲ εἴτε βασιλικὴν εἴτε πολιτικὴν εἴτε οἰκονομικήν τις ὀνομάζει, μηδὲν αὐτῷ διαφερώμεθα. |
| **53** | Plato *Symposium* 203d–e<br>καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός, ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνῄσκει, πάλιν δὲ ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν, τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ, ὥστε οὔτε ἀπορεῖ Ἔρως ποτὲ οὔτε πλουτεῖ, σοφίας τε αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. |

| **Textpassage der Paraphrase** |
|---|
| Aristoteles *Ethica Nicomachea* 1109a34–35<br>ἐπεὶ οὖν τοῦ μέσου τυχεῖν ἄκρως χαλεπόν, κατὰ τὸν δεύτερον, φασί, πλοῦν τὰ ἐλάχιστα ληπτέον τῶν κακῶν· |
| Aristoteles *Ethica Nicomachea* 1130a3–4<br>διὰ δὲ τὸ αὐτὸ τοῦτο καὶ ἀλλότριον ἀγαθὸν δοκεῖ εἶναι ἡ δικαιοσύνη μόνη τῶν ἀρετῶν, ὅτι πρὸς ἕτερόν ἐστιν· |
| Aristoteles *Ethica Nicomachea* 1140b11–12<br>ἔνθεν καὶ τὴν σωφροσύνην τούτῳ προσαγορεύομεν τῷ ὀνόματι, ὡς σῴζουσαν τὴν φρόνησιν. |
| Aristoteles *Rhetorica* 1378b26–29<br>αἴτιον δὲ τῆς ἡδονῆς τοῖς ὑβρίζουσιν, ὅτι οἴονται κακῶς δρῶντες αὐτοὶ ὑπερέχειν μᾶλλον (διὸ οἱ νέοι καὶ οἱ πλούσιοι ὑβρισταί· ὑπερέχειν γὰρ οἴονται ὑβρίζοντες). |
| Aristoteles *Rhetorica* 1389b18–20<br>καὶ οἴονται, ἴσασι δ’ οὐδέν, καὶ ἀμφιδοξοῦντες προστιθέασιν ἀεὶ τὸ ἴσως καὶ τάχα, καὶ πάντα λέγουσιν οὕτως, παγίως δ’ οὐδέν. |
| Aristoteles *Rhetorica* 1358b38–1359a4<br>ὁμοίως δὲ καὶ οἱ ἐπαινοῦντες καὶ οἱ ψέγοντες οὐ σκοποῦσιν εἰ συμφέροντα ἔπραξεν ἢ βλαβερά, ἀλλὰ καὶ ἐν ἐπαίνῳ πολλάκις τιθέασιν ὅτι ὀλιγωρήσας τοῦ αὑτῷ λυσιτελοῦντος ἔπραξεν ὅ τι καλόν, οἷον Ἀχιλλέα ἐπαινοῦσιν ὅτι ἐβοήθησε τῷ ἑταίρῳ Πατρόκλῳ εἰδὼς ὅτι δεῖ αὐτὸν ἀποθανεῖν ἐξὸν ζῆν. |
| Aristoteles *Rhetorica* 1401b10–13<br>οἷον εἴ τις λέγοι “ταῖς πόλεσι συμφέρουσιν οἱ ἐρῶντες· ὁ γὰρ Ἁρμοδίου καὶ Ἀριστογείτονος ἔρως κατέλυσε τὸν τύραννον Ἵππαρχον”, ἢ εἴ τις λέγοι ὅτι κλέπτης Διονύσιος· |
| Aristoteles *Politica* 1252a7–9<br>ὅσοι μὲν οὖν οἴονται πολιτικὸν καὶ βασιλικὸν καὶ οἰκονομικὸν καὶ δεσποτικὸν εἶναι τὸν αὐτὸν οὐ καλῶς λέγουσιν [...]· |
| Aristoteles *Politica* 1252a7–13<br>ὅσοι μὲν οὖν οἴονται πολιτικὸν καὶ βασιλικὸν καὶ οἰκονομικὸν καὶ δεσποτικὸν εἶναι τὸν αὐτὸν οὐ καλῶς λέγουσιν (πλήθει γὰρ καὶ ὀλιγότητι νομίζουσι διαφέρειν ἀλλ’ οὐκ εἴδει τούτων ἕκαστον, οἷον ἂν μὲν ὀλίγων, δεσπότην, ἂν δὲ πλειόνων, οἰκονόμον, ἂν δ’ ἔτι πλειόνων, πολιτικὸν ἢ βασιλικόν, ὡς οὐδὲν διαφέρουσαν μεγάλην οἰκίαν ἢ μικρὰν πόλιν· [...]). |
| Aristoteles *Politica* 1252a7–13<br>ὅσοι μὲν οὖν οἴονται πολιτικὸν καὶ βασιλικὸν καὶ οἰκονομικὸν καὶ δεσποτικὸν εἶναι τὸν αὐτὸν οὐ καλῶς λέγουσιν (πλήθει γὰρ καὶ ὀλιγότητι νομίζουσι διαφέρειν ἀλλ’ οὐκ εἴδει τούτων ἕκαστον, οἷον ἂν μὲν ὀλίγων, δεσπότην, ἂν δὲ πλειόνων, οἰκονόμον, ἂν δ’ ἔτι πλειόνων, πολιτικὸν ἢ βασιλικόν, ὡς οὐδὲν διαφέρουσαν μεγάλην οἰκίαν ἢ μικρὰν πόλιν· [...]). |
| Alexis fr. 240 Kock (2. 385), 1–5<br>οὐ θνητὸς οὐδ’ ἀθάνατος, ἀλλ’ ἔχων τινὰ<br>σύγκρασιν, ὥστε μήτ’ ἐν ἀνθρώπου μέρει<br>μήτ’ ἐν θεοῦ ζῆν, ἀλλὰ φύεσθαι τ’ ἀεὶ<br>καινῶς φθίνειν τε τὴν παρουσίαν πάλιν<br>ἀόρατος ὄψιν, γνώριμος δ’ ἅπασιν ὤν. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **54** | Plato *Symposium* 203d8–e5<br>καὶ οὔτε ὡς ἀθάνατος πέφυκεν οὔτε ὡς θνητός, ἀλλὰ τοτὲ μὲν τῆς αὐτῆς ἡμέρας θάλλει τε καὶ ζῇ, ὅταν εὐπορήσῃ, τοτὲ δὲ ἀποθνῄσκει, πάλιν δὲ ἀναβιώσκεται διὰ τὴν τοῦ πατρὸς φύσιν, τὸ δὲ ποριζόμενον ἀεὶ ὑπεκρεῖ, ὥστε οὔτε ἀπορεῖ Ἔρως ποτὲ οὔτε πλουτεῖ, σοφίας τε αὖ καὶ ἀμαθίας ἐν μέσῳ ἐστίν. |
| **55** | Plato *Respublica* 389b2–6<br>εἰ γὰρ ὀρθῶς ἐλέγομεν ἄρτι, καὶ τῷ ὄντι θεοῖσι μὲν ἄχρηστον ψεῦδος, ἀνθρώποις δὲ χρήσιμον ὡς ἐν φαρμάκου εἴδει, δῆλον ὅτι τό γε τοιοῦτον ἰατροῖς δοτέον, ἰδιώταις δὲ οὐχ ἁπτέον. Δῆλον, ἔφη. |
| **56** | Plato *Gorgias* 464b3–7<br>δυοῖν ὄντοιν τοῖν πραγμάτοιν δύο λέγω τέχνας· τὴν μὲν ἐπὶ τῇ ψυχῇ πολιτικὴν καλῶ, τὴν δὲ ἐπὶ σώματι μίαν μὲν οὕτως ὀνομάσαι οὐκ ἔχω σοι, μιᾶς δὲ οὔσης τῆς τοῦ σώματος θεραπείας δύο μόρια λέγω, τὴν μὲν γυμναστικήν, τὴν δὲ ἰατρικήν· |
| **57** | Plato *Respublica* 564e13<br>πλούσιοι δὴ οἶμαι οἱ τοιοῦτοι καλοῦνται κηφήνων βοτάνη. |
| **58** | Plato *Respublica* 411a–b<br>Οὐκοῦν ὅταν μέν τις μουσικῇ παρέχῃ καταυλεῖν καὶ καταχεῖν τῆς ψυχῆς διὰ τῶν ὤτων ὥσπερ διὰ χώνης ἃς νυνδὴ ἡμεῖς ἐλέγομεν τὰς γλυκείας τε καὶ μαλακὰς καὶ θρηνώδεις ἁρμονίας καὶ μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς διατελῇ τὸν βίον ὅλον οὗτος τὸ μὲν πρῶτον, εἴ τι θυμοειδὲς εἶχεν, ὥσπερ σίδηρον ἐμάλαξεν καὶ χρήσιμον ἐξ ἀχρήστου καὶ σκληροῦ ἐποίησεν· |
| **59** | Plato *Leges* 716a2–b5<br>τῷ δὲ ἀεὶ συνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος συνέπεται ταπεινὸς καὶ κεκοσμημένος ὁ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος ἢ τιμαῖς, ἢ καὶ σώματος εὐμορφίᾳ ἅμα νεότητι καὶ ἀνοίᾳ φλέγεται τὴν ψυχὴν μεθ' ὕβρεως, ὡς οὔτε ἄρχοντος οὔτε τινὸς ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος θεοῦ, καταλειφθεὶς δὲ καὶ ἔτι ἄλλους τοιούτους προσλαβὼν σκιρτᾷ ταράττων πάντα ἅμα, καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις, μετὰ δὲ χρόνον οὐ πολὺν ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ ἑαυτόν τε καὶ οἶκον καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησεν. |
| **60** | Plato *Leges* 666a3–7<br>ἆρ' οὐ νομοθετήσομεν πρῶτον μὲν τοὺς παῖδας μέχρι ἐτῶν ὀκτωκαίδεκα τὸ παράπαν οἴνου μὴ γεύεσθαι, διδάσκοντες ὡς οὐ χρὴ πῦρ ἐπὶ πῦρ ὀχετεύειν εἴς τε τὸ σῶμα καὶ τὴν ψυχὴν πρὶν ἐπὶ τοὺς πόνους ἐγχειρεῖν πορεύεσθαι, τὴν ἐμμανῆ εὐλαβουμένους ἕξιν τῶν νέων· |
| **61** | Plato *Symposium* 192d8–e4<br>εἰ γὰρ τούτου ἐπιθυμεῖτε, θέλω ὑμᾶς συντῆξαι καὶ συμφυσῆσαι εἰς τὸ αὐτό, ὥστε δύ' ὄντας ἕνα γεγονέναι καὶ ἕως τ' ἂν ζῆτε, ὡς ἕνα ὄντα, κοινῇ ἀμφοτέρους ζῆν, καὶ ἐπειδὰν ἀποθάνητε, ἐκεῖ αὖ ἐν Ἅιδου ἀντὶ δυοῖν ἕνα εἶναι κοινῇ τεθνεῶτε· |
| **62** | Plato *Symposium* 202d13–e1<br>καὶ γὰρ πᾶν τὸ δαιμόνιον μεταξύ ἐστι θεοῦ τε καὶ θνητοῦ. |
| **63** | Plato *Charmides* 154b8–c5<br>ἀτεχνῶς γὰρ λευκὴ στάθμη εἰμὶ πρὸς τοὺς καλούς – σχεδὸν γάρ τί μοι πάντες οἱ ἐν τῇ ἡλικίᾳ καλοὶ φαίνονται – ἀτὰρ οὖν δὴ καὶ τότε ἐκεῖνος ἐμοὶ θαυμαστὸς ἐφάνη τό τε μέγεθος καὶ τὸ κάλλος, οἱ δὲ δὴ ἄλλοι πάντες ἐρᾶν ἔμοιγε ἐδόκουν αὐτοῦ – οὕτως ἐκπεπληγμένοι τε καὶ τεθορυβημένοι ἦσαν, ἡνίκ' εἰσῄει – πολλοὶ δὲ δὴ ἄλλοι ἐρασταὶ καὶ ἐν τοῖς ὄπισθεν εἵποντο. |

| Textpassage der Paraphrase |
|---|
| Alexis fr. 245 Kock (2. 86f.), 6–9<br>ἔστιν γὰρ οὔτε θῆλυς οὔτ᾽ ἄρρην, πάλιν<br>οὔτε θεὸς οὔτε ἄνθρωπος<br>οὔτ᾽ αὖθις ἔμφρων, ἀλλὰ συνενηνεγμένος<br>πανταχόθεν, ἑνὶ τύπῳ τε πόλλ᾽ εἴδη φέρων. |
| Plutarchus *De liberis educandis* 6e1–4<br>τὸ δὲ δεῖν παντάπασιν ἀποδοκιμάζειν τῶν λόγων τὴν ἑτοιμότητα ἢ πάλιν αὖ ταύτην οὐκ ἐπ᾽ ἀξίοις ἀσκεῖν οὐ φαίην ἂν ἔγωγε, ἀλλ᾽ ὡς ἐν φαρμάκου μοίρᾳ τοῦτο ποιητέον ἐστί. |
| Plutarchus *De liberis educandis* 7d9–12<br>περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμέλειαν διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ τὴν γυμναστικήν, ὧν ἡ μὲν τὴν ὑγίειαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι. |
| Plutarchus *De recta ratione audiendi* 4111f–42a8<br>οὕτως οὖν δεῖ τὸν φιλότεχνον καὶ καθαρὸν ἀκροατὴν τὰ μὲν ἀνθηρὰ καὶ τρυφερὰ τῶν ὀνομάτων καὶ τῶν πραγμάτων τὰ δραματικὰ καὶ πανηγυρικὰ κηφήνων βοτάνην σοφιστιώντων ἡγούμενον ἐᾶν, αὐτὸν δὲ τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λόγου καὶ τὴν διάθεσιν τοῦ λέγοντος ἕλκειν ἀπ᾽ αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον, μεμνημένον ὡς οὐκ εἰς θέατρον οὐδ᾽ ᾠδεῖον ἀλλ᾽ εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος. |
| Plutarchus *De recta ratione audiendi* 42c2–8<br>οὐ δεῖ δὲ τὸ ἡδὺ τῆς ἀκροάσεως ποιεῖσθαι τέλος, οὐδ´ οἴεσθαι δεῖν ἐκ σχολῆς ἀπιέναι φιλοσόφου μινυρίζοντα καὶ γεγανωμένον οὐδὲ ζητεῖν μυρίζεσθαι δεόμενον ἐμβροχῆς καὶ καταπλάσματος, ἀλλὰ χάριν ἔχειν, ἄν τις ὥσπερ καπνῷ σμῆνος λόγῳ δριμεῖ τὴν διάνοιαν ἀχλύος πολλῆς καὶ ἀμβλύτητος γέμουσαν ἐκκαθήρῃ. |
| Plutarchus *Quomodo quis suos in virtute sentiat profectus* 81e6–9<br>ὁ δ᾽ ἐντὸς γενόμενος καὶ μέγα φῶς ἰδών, οἷον ἀνακτόρων ἀνοιγομένων, ἕτερον λαβὼν σχῆμα καὶ σιωπὴν καὶ θάμβος ὥσπερ θεῷ τῷ λόγῳ “ταπεινὸς συνέπεται καὶ κεκοσμημένος.” |
| Plutarchus *Conjugalia praecepta* 143f5–8<br>τότ᾽ οὖν δεῖ μάλιστα τὴν νοῦν ἔχουσαν ἀποκλείειν τὰ ὦτα καὶ φυλάττεσθαι τὸν ψιθυρισμόν, ἵνα μὴ πῦρ ἐπὶ πῦρ γένηται καὶ πρόχειρον ἔχειν τὸ τοῦ Φιλίππου. |
| Plutarchus *Septem sapientium convivium* 156c12–dd3<br>ἔστι δὲ τῆς μὲν πρὸς γυναῖκας ἀνδρῶν ὁμοφροσύνης καὶ φιλίας δημιουργὸς ἡ Ἀφροδίτη, τοῖς σώμασιν ὑφ᾽ ἡδονῆς ἅμα συμμιγνύουσα καὶ συντήκουσα τὰς ψυχάς· |
| Plutarchus *De defectu oraculorum* 415a1–5<br>ἐμοὶ δὲ δοκοῦσι πλείονας λῦσαι καὶ μείζονας ἀπορίας οἱ τὸ τῶν δαιμόνων γένος ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων τρόπον τινὰ τὴν κοινωνίαν ἡμῶν συνάγον εἰς ταὐτὸ καὶ συνάπτον ἐξευρόντες· |
| Plutarchus *De garrulitate* 513f8–514a1<br>ἔστι μὲν οὖν ἀτεχνῶς ἡ λευκὴ στάθμη πρὸς τοὺς λόγους ὁ ἀδόλεσχος, [...]. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **64** | Plato *Gorgias* 523a1–2<br>ἄκουε δή, φασί, μάλα καλοῦ λόγου, ὃν σὺ μὲν ἡγήσῃ μῦθον, ὡς ἐγὼ οἶμαι, ἐγὼ δὲ λόγον· |
| **65** | Plato *Respublica* 7, 540c<br>παγκάλους, ἔφη, τοὺς ἄρχοντας, ὦ Σώκρατες, ὥσπερ ἀνδριαντοποιὸς ἀπείργασαι. |
| **66** | Plato *Respublica* 558c3–6<br>ταῦτά τε δή, ἔφην, ἔχοι ἂν καὶ τούτων ἄλλα ἀδελφὰ δημοκρατία, καὶ εἴη, ὡς ἔοικεν, ἡδεῖα πολιτεία καὶ ἄναρχος καὶ ποικίλη, ἰσότητά τινα ὁμοίως ἴσοις τε καὶ ἀνίσοις διανέμουσα. |
| **67** | Plato *Theaetetus* 155d2–5<br>μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη, καὶ ἔοικεν ὁ τὴν Ἶριν Θαύμαντος ἔκγονον φήσας οὐ κακῶς γενεαλογεῖν. |
| **68** | Plato *Respublica* 496c5–e2<br>καὶ τούτων δὴ τῶν ὀλίγων οἱ γενόμενοι καὶ γευσάμενοι ὡς ἡδὺ καὶ μακάριον τὸ κτῆμα, καὶ τῶν πολλῶν αὖ ἱκανῶς ἰδόντες τὴν μανίαν, καὶ ὅτι οὐδεὶς οὐδὲν ὑγιὲς ὡς ἔπος εἰπεῖν περὶ τὰ τῶν πόλεων πράττει οὐδ’ ἔστι σύμμαχος μεθ’ ὅτου τις ἰὼν ἐπὶ τὴν τῷ δικαίῳ βοήθειαν σῴζοιτ’ ἄν, ἀλλ’ ὥσπερ εἰς θηρία ἄνθρωπος ἐμπεσών, οὔτε συναδικεῖν ἐθέλων οὔτε ἱκανὸς ὢν εἷς πᾶσιν ἀγρίοις ἀντέχειν, πρίν τι τὴν πόλιν ἢ φίλους ὀνῆσαι προαπολόμενος ἀνωφελὴς αὑτῷ τε καὶ τοῖς ἄλλοις ἂν γένοιτο – ταῦτα πάντα λογισμῷ λαβών, ἡσυχίαν ἔχων καὶ τὰ αὑτοῦ πράττων, οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς ὁρῶν τοὺς ἄλλους καταπιμπλαμένους ἀνομίας, ἀγαπᾷ εἴ πῃ αὐτὸς καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων τόν τε ἐνθάδε βίον βιώσεται καὶ τὴν ἀπαλλαγὴν αὐτοῦ μετὰ καλῆς ἐλπίδος ἵλεώς τε καὶ εὐμενὴς ἀπαλλάξεται. |
| **69** | Plato *Phaedrus* 235d4–6<br>σὺ γὰρ ἐμοὶ ὧντινων μὲν καὶ ὅπως ἤκουσας μηδ’ ἂν κελεύω εἴπῃς, τοῦτο δὲ αὐτὸ ὃ λέγεις ποίησον· |
| **70** | Plato *Respublica* 329b6–c4<br>νῦν δ’ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· ‘πῶς,’ ἔφη, ‘ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι’; καὶ ὅς, ‘εὐφήμει,’ ἔφη, ‘ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς.’ |
| **71** | Plato *Timaeus* 29e1–3<br>ἀγαθὸς ἦν, ἀγαθῷ δὲ οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίγνεται φθόνος· τούτου δ’ ἐκτὸς ὢν πάντα ὅτι μάλιστα ἐβουλήθη γενέσθαι παραπλήσια ἑαυτῷ. |
| **72** | Plato *Respublica* 429c8–d1<br>διὰ παντὸς δὲ ἔλεγον αὐτῆς σωτηρίαν τὸ ἔν τε λύπαις ὄντα διασῴζεσθαι αὐτὴν καὶ ἐν ἡδοναῖς καὶ ἐν ἐπιθυμίαις καὶ ἐν φόβοις καὶ μὴ ἐκβάλλειν. |
| **73** | Plato *Timaeus* 36e2–5<br>ἡ δ’ ἐκ μέσου πρὸς τὸν ἔσχατον οὐρανὸν πάντῃ διαπλακεῖσα κύκλῳ τε αὐτὸν ἔξωθεν περικαλύψασα, αὐτὴ ἐν αὑτῇ στρεφομένη, θείαν ἀρχὴν ἤρξατο ἀπαύστου καὶ ἔμφρονος βίου πρὸς τὸν σύμπαντα χρόνον. |

| **Textpassage der Paraphrase** |
|---|
| Plutarchus *De sera numinis vindicta* 561b5–7<br>ὅτι δ᾽ οὐκ ἔστιν αἰσχίων οὐδὲ λυποῦσα μᾶλλον ἑτέρα κόλασις ἢ τοὺς ἐξ ἑαυτῶν κακὰ πάσχοντας δι᾽ αὑτοὺς ὁρᾶν, καὶ ὅτι ψυχὴν ἀνδρὸς ἀσεβοῦς καὶ παρανόμου μετὰ θάνατον ἐφορῶσαν οὐκ ἀνδριάντας οὐδὲ τιμάς τινας ἀνατρεπομένας ἀλλὰ παῖδας ἢ φίλους ἢ γένος οἰκεῖον αὑτῆς ἀτυχήμασι χρωμένους μεγάλοις δι᾽ αὑτὴν καὶ δίκην τίνοντας οὐδεὶς ἂν ἀναπείσειεν αὖθις ἐπὶ ταῖς τοῦ Διὸς τιμαῖς ἄδικον γενέσθαι καὶ ἀκόλαστον, ἔχω μέν τινα καὶ λόγον εἰπεῖν ἔναγχος ἀκηκοώς, ὀκνῶ δὲ μὴ φανῇ μῦθος ὑμῖν· |
| Plutarchus *Quaestiones convivales* 621b1–3<br>‘τοιοῦτον’ ἔφη ‘σοι, Θέων, ἐγὼ τὸν ἄρχοντα συμποσίου πλάσας ὥσπερ ἐκ κηροῦ τοῦ λόγου παραδίδωμι.’ |
| Plutarchus *Quaestiones convivales* 643b9–11<br>οὐχ ὥσπερ ἡ τοῦ κρέως καὶ τοῦ ἄρτου μερὶς ἀδικωτάτῳ μέτρῳ καλλωπίζεται τῷ ἴσῳ πρὸς ἀνίσους. |
| Plutarchus *Quaestiones convivales* 680c9–d2<br>ὅπου γὰρ ὁ τῆς αἰτίας ἐπιλείπει λόγος, ἐκεῖθεν ἄρχεται τὸ ἀπορεῖν, τουτέστι τὸ φιλοσοφεῖν· |
| Plutarchus *Amatorius* 751e5–11<br>ταυτὶ δὲ πρεσβύτης γενόμενος ’ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα καὶ Διονύσου // καὶ Μουσέων, ἃ τίθησ᾽ ἀνδράσιν εὐφροσύνας’, ὥσπερ ἐκ ζάλης καὶ χειμῶνος καὶ τῶν παιδικῶν ἐρώτων ἔν τινι γαλήνῃ τῇ περὶ γάμον καὶ φιλοσοφίαν θέμενος τὸν βίον. |
| Plutarchus *Amatorius* 764a6–8<br>τὰ μὲν οὖν ‘ἀριζήλως εἰρημένα’ Πλάτωνι, μᾶλλον δὲ ταῖς θεαῖς ταύταις διὰ Πλάτωνος, ὦγαθέ ‘μηδ᾽ ἂν κελεύωμεν εἴπῃς·’ |
| Plutarchus *An seni respublica gerenda sit* 788e6–8<br>ὁ γὰρ Σοφοκλῆς ἄσμενος ἔφη τὰ ἀφροδίσια γεγηρακὼς ἀποπεφευγέναι καθάπερ ἄγριον καὶ λυσσῶντα δεσπότην· |
| Plutarchus *De animae procreatione in Timaeo* 1015b1–2<br>ἡ γὰρ ‘ἀναστρέφουσα’ τὸν οὐρανόν, ὥσπερ ἐν Πολιτικῷ λέγεται, καὶ ἀνελίττουσα πρὸς τοὐναντίον ἀνάγκη καὶ ’σύμφυτος ἐπιθυμία’ καὶ ’τὸ τῆς πάλαι ποτὲ φύσεως σύντροφον πολλῆς μετέχον ἀταξίας, πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι’, πόθεν ἐγγέγονε τοῖς πράγμασιν, εἰ τὸ μὲν ὑποκείμενον ἄποιος ἦν ὕλη καὶ ἄμοιρος αἰτίας, ὁ δὲ δημιουργὸς ἀγαθὸς καὶ πάντα βουλόμενος αὐτῷ κατὰ δύναμιν ἐξομοιῶσαι, τρίτον δὲ παρὰ ταῦτα μηδέν; |
| Plotinus *Enneades* 1,1,1,1 -2<br>Ἡδοναὶ καὶ λῦπαι φόβοι τε καὶ θάρρη ἐπιθυμίαι τε καὶ ἀποστροπαὶ καὶ τὸ ἀλγεῖν τίνος ἂν εἶεν; |
| Plotinus *Enneades* 1,1,3,18–31<br>ἀλλὰ εἰ ἐμέμικτο, ἢ κρᾶσίς τις ἦν, ἢ ὡς διαπλακεῖσα, ἢ ὡς ἆδος οὐ κεχωρισμένον. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **74** | Plato *Timaeus* 35a1–6<br>τῆς ἀμερίστου καὶ ἀεὶ κατὰ ταὐτὰ ἐχούσης οὐσίας καὶ τῆς αὖ περὶ τὰ σώματα γιγνομένης μεριστῆς τρίτον ἐξ ἀμφοῖν ἐν μέσῳ συνεκεράσατο οὐσίας εἶδος, τῆς τε ταὐτοῦ φύσεως αὖ πέρι καὶ τῆς τοῦ ἑτέρου, καὶ κατὰ ταὐτὰ συνέστησεν ἐν μέσῳ τοῦ τε ἀμεροῦς αὐτῶν καὶ τοῦ κατὰ τὰ σώματα μεριστοῦ. |
| **75** | Plato *Alcibiades i* 131a2–3<br>ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ' οὐχ αὑτὸν ἔγνωκεν. |
| **76** | Plato *Respublica* 505a2–4<br>ἐπεὶ ὅτι γε ἡ τοῦ ἀγαθοῦ ἰδέα μέγιστον μάθημα πολλάκις ἀκήκοας, ᾗ δὴ καὶ δίκαια καὶ τἆλλα προσχρησάμενα χρήσιμα καὶ ὠφέλιμα γίγνεται. |
| **77** | Plato *Symposium* 211b7–d1<br>τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι, ὥσπερ ἐπαναβασμοῖς χρώμενον ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυοῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα, καὶ ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτῆσαι, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτὸ τελευτῶν ὃ ἔστι καλόν. |
| **78** | Plato *Phaedo* 66b1–7<br>Οὐκοῦν ἀνάγκη, ἔφη, ἐκ πάντων τούτων παρίστασθαι δόξαν τοιάνδε τινὰ τοῖς γνησίως φιλοσόφοις, ὥστε καὶ πρὸς ἀλλήλους τοιαῦτα ἄττα λέγειν, ὅτι "Κινδυνεύει τοι ὥσπερ ἀτραπός τις ἐκφέρειν ἡμᾶς [μετὰ τοῦ λόγου ἐν τῇ σκέψει], ὅτι, ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ συμπεφυρμένη ᾖ ἡμῶν ἡ ψυχὴ μετὰ τοιούτου κακοῦ, οὐ μή ποτε κτησώμεθα ἱκανῶς οὗ ἐπιθυμοῦμεν· [...]." |
| **79** | Plato *Phaedo* 64c4–8<br>ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν [ἀπὸ] τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ᾖ ὁ θάνατος ἢ τοῦτο; |
| **80** | Plato *Gorgias* 524b2–c1<br>ὁ θάνατος τυγχάνει ὤν, ὡς ἐμοὶ δοκεῖ, οὐδὲν ἄλλο ἢ δυοῖν πραγμάτοιν διάλυσις, τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀπ' ἀλλήλοιν· ἐπειδὰν δὲ διαλυθῆτον ἄρα ἀπ' ἀλλήλοιν, οὐ πολὺ ἧττον ἑκάτερον αὐτοῖν ἔχει τὴν ἕξιν τὴν αὑτοῦ ἥνπερ καὶ ὅτε ἔζη ὁ ἄνθρωπος, τό τε σῶμα τὴν φύσιν τὴν αὑτοῦ καὶ τὰ θεραπεύματα καὶ τὰ παθήματα ἔνδηλα πάντα. |
| **81** | Plato *Respublica* 530a7–b4<br>τὴν δὲ νυκτὸς πρὸς ἡμέραν συμμετρίαν καὶ τούτων πρός τε ταῦτα καὶ πρὸς ἄλληλα, πρὸς μῆνα καὶ μηνὸς πρὸς ἐνιαυτὸν καὶ τῶν ἄλλων ἄστρων οὐκ ἄτοπον, οἴει, ἡγήσεται τὸν νομίζοντα γίγνεσθαί τε ταῦτα ἀεὶ ὡσαύτως καὶ οὐδαμῇ οὐδὲν παραλλάττειν, σῶμά τε ἔχοντα καὶ ὁρώμενα, καὶ ζητεῖν παντὶ τρόπῳ τὴν ἀλήθειαν αὐτῶν λαβεῖν; |
| **82** | Plato *Timaeus* 34a3–5<br>διὸ δὴ κατὰ ταὐτὰ ἐν τῷ αὐτῷ καὶ ἐν ἑαυτῷ περιαγαγὼν αὐτὸ ἐποίησε κύκλῳ κινεῖσθαι στρεφόμενον, τὰς δὲ ἓξ ἁπάσας κινήσεις ἀφεῖλεν καὶ ἀπλανὲς ἀπηργάσατο ἐκείνων. |
| **83** | Plato *Respublica* 617e3–4<br>ἀρετὴ δὲ ἀδέσποτον, ἣν τιμῶν καὶ ἀτιμάζων πλέον καὶ ἔλαττον αὐτῆς ἕκαστος ἕξει. |
| **84** | Plato *Symposium* 202d12–13<br>τί οὖν, ὦ Διοτίμα; δαίμων μέγας, ὦ Σώκρατες· |

| Textpassage der Paraphrase |
|---|
| Plotinus *Enneades* 1,1,8,9–15<br>Ἢ ὡς ἐποχούμενον τῇ νοητῇ φύσει καὶ τῇ οὐσίᾳ τῇ ὄντως, ἡμᾶς δὲ ἐκεῖθεν τρίτους ἐκ τῆς ἀμερίστου, φησί, τῆς ἄνωθεν καὶ ἐκ τῆς περὶ τὰ σώματα μεριστῆς, ἣν δὴ δεῖ νοεῖν οὕτω μεριστὴν περὶ τὰ σώματα, ὅτι δίδωσιν ἑαυτὴν τοῖς σώματος μεγέθεσιν, ὁπόσον ἂν ζῷον ᾖ ἕκαστον, ἐπεὶ καὶ τῷ παντὶ ὅλῳ, οὖσα μία· |
| Plotinus *Enneades* 1,4,4,25–26<br>ἀλλ᾽ ὃ ζητεῖ ὡς ἀναγκαῖον ζητεῖ, καὶ οὐχ ἃ αὑτῷ, ἀλλά τινι τῶν αὑτοῦ. |
| Plotinus *Enneades* I,4,13,5–8<br>τὸ δὲ μέγιστον μάθημα πρόχειρον ἀεὶ καὶ μετ' αὐτοῦ καὶ τοῦτο μᾶλλον, κἂν ἐν τῷ Φαλάριδος ταύρῳ λεγομένῳ ᾖ, ὃ μάτην λέγεται ἡδὺ δὶς ἢ καὶ πολλάκις λεγόμενον. |
| Plotinus *Enneades* 1,6,1,19–20<br>Τοῦτο γὰρ εὑρόντες τάχ᾽ ἂν ἐπιβάθρᾳ αὐτῷ χρώμενοι καὶ τὰ ἄλλα θεασαίμεθα. |
| Plotinus *Enneades* 1,6,5,31–39<br>Αὐτὸ τοῦτο τὸ αἶσχος αὐτῇ ἆρα οὐ προσγεγονέναι οἷον ἐπακτὸν καλὸν φήσομεν, ὃ ἐλωβήσατο μὲν αὐτῇ, πεποίηκε δὲ αὐτὴν ἀκάθαρτον καὶ πολλῷ τῷ κακῷ συμπεφυρμένην, οὐδὲ ζωὴν ἔτι ἔχουσαν οὐδὲ αἴσθησιν καθαράν, ἀλλὰ τῷ μίγματι τοῦ κακοῦ ἀμυδρᾷ τῇ ζωῇ κεχρημένην καὶ πολλῷ τῷ θανάτῳ κεκραμένην, οὐκέτι μὲν ὁρῶσαν ἃ δεῖ ψυχὴν ὁρᾶν, οὐκέτι δὲ ἐωμένην ἐν αὑτῇ μένειν τῷ ἕλκεσθαι ἀεὶ πρὸς τὸ ἔξω καὶ τὸ κάτω καὶ τὸ σκοτεινόν; |
| Plotinus *Enneades* 1,6,6,9–10<br>ὁ δέ ἐστιν ὁ θάνατος χωρὶς εἶναι τὴν ψυχὴν τοῦ σώματος. |
| Plotinus *Enneades* 1,7,3,14–16<br>ἀλλ᾽ εἰ σύνοδος μὲν ψυχῆς καὶ σώματος ζωή, θάνατος δὲ διάλυσις τούτων , ἡ ψυχὴ ἔσται ἀμφοτέρων δεκτική. |
| Plotinus *Enneades* 2,1,2,8–10<br>πῶς γὰρ ἄν, φησι, σώματα ἔχοντα καὶ ὁρώμενα τὸ ἀπαραλλάκτως ἕξει καὶ τὸ ὡσαύτως; |
| Plotinus *Enneades* 2,2,1,1<br>διὰ τί κύκλῳ κινεῖται; |
| Plotinus *Enneades* 2,3,9,16–17<br>καὶ γὰρ ὅμως ἐν τούτοις τοῖς κακοῖς διὰ τοῦ σώματος ἀπειλημμένοις ἀδέσποτον ἀρετὴν θεὸς ἔδωκεν. |
| Plotinus *Enneades* 2,3,9,45–47<br>θεὸς μὲν οὖν ἐκείνης συναριθμουμένης, τὸ δὲ λοιπὸν δαίμων, φησί, μέγας καὶ τὰ πάθη τὰ ἐν αὐτῷ δαιμόνια. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **85** | Plato *Phaedrus* 246b7–c6<br>τελέα ἐν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ ἡ δὲ πτερορρυήσασα φέρεται ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γήϊνον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῷον τὸ σύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνητόν τ᾽ ἔσχεν ἐπωνυμίαν· |
| **86** | Plato *Critias* 109b2–c4<br>οὐ γὰρ ἂν ὀρθὸν ἔχοι λόγον θεοὺς ἀγνοεῖν τὰ πρέποντα ἑκάστοις αὐτῶν, οὐδ᾽ αὖ γιγνώσκοντας τὸ μᾶλλον ἄλλοις προσῆκον τοῦτο ἑτέρους αὑτοῖς δι᾽ ἐρίδων ἐπιχειρεῖν κτᾶσθαι – δίκης δὴ κλήροις τὸ φίλον λαγχάνοντες κατῴκιζον τὰς χώρας, καὶ κατοικίσαντες, οἷον νομῆς ποίμνια, κτήματα καὶ θρέμματα ἑαυτῶν ἡμᾶς ἔτρεφον, πλὴν οὐ σώμασι σώματα βιαζόμενοι, καθάπερ ποιμένες κτήνη πληγῇ νέμοντες, ἀλλ᾽ ᾗ μάλιστα εὔστροφον ζῷον, ἐκ πρύμνης ἀπευθύνοντες, οἷον οἴακι πειθοῖ ψυχῆς ἐφαπτόμενοι κατὰ τὴν αὐτῶν διάνοιαν, οὕτως ἄγοντες τὸ θνητὸν πᾶν ἐκυβέρνων. |
| **87** | Plato *Symposium* 206d1–2<br>ἀνάρμοστον δ᾽ ἐστὶ τὸ αἰσχρὸν παντὶ τῷ θείῳ, τὸ δὲ καλὸν ἁρμόττον. |
| **88** | Plato *Symposium* 206c4–5<br>τίκτειν δὲ ἐν μὲν αἰσχρῷ οὐ δύναται, ἐν δὲ τῷ καλῷ. |
| **89** | Plato *Symposium* 203b5–7<br>ὁ οὖν Πόρος μεθυσθεὶς τοῦ νέκταρος – οἶνος γὰρ οὔπω ἦν – εἰς τὸν τοῦ Διὸς κῆπον εἰσελθὼν βεβαρημένος ηὗδεν. |
| **90** | Plato *Timaeus* 41d4–7<br>Ταῦτ᾽ εἶπε, καὶ πάλιν ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγεν, τὰ τῶν πρόσθεν ὑπόλοιπα κατεχεῖτο μίσγων τρόπον μέν τινα τὸν αὐτόν, ἀκήρατα δὲ οὐκέτι κατὰ ταὐτὰ ὡσαύτως, ἀλλὰ δεύτερα καὶ τρίτα. |
| **91** | Plato *Symposium* 191b5–c8<br>ἐλεήσας δὲ ὁ Ζεὺς ἄλλην μηχανὴν πορίζεται, καὶ μετατίθησιν αὐτῶν τὰ αἰδοῖα εἰς τὸ πρόσθεν – τέως γὰρ καὶ ταῦτα ἐκτὸς εἶχον, καὶ ἐγέννων καὶ ἔτικτον οὐκ εἰς ἀλλήλους ἀλλ᾽ εἰς γῆν, ὥσπερ οἱ τέττιγες – μετέθηκέ τε οὖν οὕτω αὐτῶν εἰς τὸ πρόσθεν καὶ διὰ τούτων τὴν γένεσιν ἐν ἀλλήλοις ἐποίησεν, διὰ τοῦ ἄρρενος ἐν τῷ θήλει, τῶνδε ἕνεκα, ἵνα ἐν τῇ συμπλοκῇ ἅμα μὲν εἰ ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο τὸ γένος, ἅμα δ᾽ εἰ καὶ ἄρρην ἄρρενι, πλησμονὴ γοῦν γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. |
| **92** | Plato *Respublica* 621b8–c2<br>Καὶ οὕτως, ὦ Γλαύκων, μῦθος ἐσώθη καὶ οὐκ ἀπώλετο, καὶ ἡμᾶς ἂν σώσειεν, ἂν πειθώμεθα αὐτῷ, καὶ τὸν τῆς Λήθης ποταμὸν εὖ διαβησόμεθα καὶ τὴν ψυχὴν οὐ μιανθησόμεθα. |
| **93** | Plato *Philebus* 34b10–c2<br>καὶ μὴν καὶ ὅταν ἀπολέσασα μνήμην εἴτ᾽ αἰσθήσεως εἴτ᾽ αὖ μαθήματος αὖθις ταύτην ἀναπολήσῃ πάλιν αὐτὴ ἐν ἑαυτῇ, καὶ ταῦτα σύμπαντα ἀναμνήσεις [καὶ μνήμας] που λέγομεν. |
| **94** | Plato *Philebus* 30d1–4<br>οὐκοῦν ἐν μὲν τῇ τοῦ Διὸς ἐρεῖς φύσει βασιλικὴν μὲν ψυχήν, βασιλικὸν δὲ νοῦν ἐγγίγνεσθαι διὰ τὴν τῆς αἰτίας δύναμιν, ἐν δ᾽ ἄλλοις ἄλλα καλά, καθ᾽ ὅτι φίλον ἑκάστοις λέγεσθαι. |

| Textpassage der Paraphrase |
| --- |
| Plotinus *Enneades* 2,3,13,3–8<br>ψυχῆς δὴ τὸ πᾶν τόδε διοικούσης κατὰ λόγον, οἷα δὴ καὶ ἐφ’ ἑκάστου ζῴου ἡ ἐν αὐτῷ ἀρχή, ἀφ’ ἧς ἕκαστα τὰ τοῦ ζῴου μέρη καὶ πλάττεται καὶ πρὸς τὸ ὅλον συντέτακται, οὗ μέρη ἐστίν, ἐν μὲν τῷ ὅλῳ ἐστὶ τὰ πάντα, ἐν δὲ τοῖς μέρεσι τοσοῦτον μόνον, ὅσον ἐστὶν ἕκαστον. |
| Plotinus *Enneades* 2,3,13,14–17<br>τὰ δὲ ἔμψυχα, τὰ μὲν τὸ κινεῖσθαι ἀορίστως ἔχει, ὡς ὑφ’ ἅρμασιν ἵπποι πρὶν τὸν ἡνίοχον ἀφορίσαι αὐτοῖς τὸν δρόμον, ἅτε δὴ πληγῇ νεμόμενα· |
| Plotinus *Enneades* 3,5,1,19–20<br>τὸ μὲν γὰρ αἰσχρὸν ἐναντίον καὶ τῇ φύσει καὶ τῷ θεῷ. |
| Plotinus *Enneades* 3,5,1,28–30<br>καὶ γὰρ οὗτοι τίκτειν βούλονται ἐν καλῷ· ἐπείπερ ἄτοπον βουλομένην τὴν φύσιν καλὰ ποιεῖν ἐν αἰσχρῷ […]. |
| Plotinus *Enneades* 3,5,7,1–9<br>Διὸ καὶ ἐν τῇ γενέσει τοῦ Ἔρωτος ὁ Πλάτων φησὶ τὸν Πόρον τὴν μέθην ἔχειν τοῦ νέκταρος οἴνου οὔπω ὄντος ὡς πρὸ τοῦ αἰσθητοῦ τοῦ Ἔρωτος γενομένου καὶ τῆς Πενίας μετεχούσης φύσεως νοητοῦ, ἀλλ’ οὐκ εἰδώλου νοητοῦ οὐδ’ ἐκεῖθεν ἐμφαντασθέντος, ἀλλ’ ἐκεῖ γενομένης καὶ συμμιχθείσης ὡς ἐξ εἴδους καὶ ἀοριστίας, ἣν ⟨ἦν⟩ ἔχουσα ἡ ψυχὴ πρὶν τυχεῖν τοῦ ἀγαθοῦ, μαντευομένη δέ τι εἶναι κατὰ ἀόριστον καὶ ἄπειρον φάντασμα, τὴν ὑπόστασιν τοῦ Ἔρωτος τεκούσης. |
| Plotinus *Enneades* 4,3,6,27–34<br>τὸ γὰρ δευτέρας καὶ τρίτας τῷ ἐγγύθεν καὶ τῷ πορρώτερον ὑπονοητέον εἰρῆσθαι, ὥσπερ καὶ παρ’ ἡμῖν οὐχ ὁμοίως πάσαις ψυχαῖς ὑπάρχει τὸ πρὸς τὰ ἐκεῖ, ἀλλ’ οἱ μὲν ἑνοῖντο ἄν, οἱ δὲ βάλλοιεν ἂν ἐγγὺς ἐφιέμενοι, οἷς δὲ ἧττον ἂν ἔχοι τοῦτο, καθὸ ταῖς δυνάμεσιν οὐ ταῖς αὐταῖς ἐνεργοῦσιν, ἀλλ’ οἱ μὲν τῇ πρώτῃ, οἱ δὲ τῇ μετ’ ἐκείνην, οἱ δὲ τῇ τρίτῃ, ἁπάντων τὰς πάσας ἐχόντων. |
| Plotinus *Enneades* 4,3,12,8–12<br>Ζεὺς δὲ πατὴρ ἐλεήσας πονουμένας θνητὰ αὐτῶν τὰ δεσμὰ ποιῶν περὶ ἃ πονοῦνται, δίδωσιν ἀναπαύλας ἐν χρόνοις ποιῶν σωμάτων ἐλευθέρας, ἵν’ ἔχοιεν ἐκεῖ καὶ αὗται γίνεσθαι, οὗπερ ἡ τοῦ παντὸς ψυχὴ ἀεὶ οὐδὲν τὰ τῇδε ἐπιστρεφομένη. |
| Plotinus *Enneades* 4,3,26,54–55<br>διὸ καὶ ὁ τῆς Λήθης ποταμὸς οὗτος ἂν ὑπονοοῖτο. |
| Plotinus *Enneades* 4,3,27,19–20<br>σώματος γὰρ καθαρωτέρα γενομένη καὶ ἃ ἐνταῦθα οὐκ εἶχεν ἐν μνήμῃ ἀναπολήσει· |
| Plotinus *Enneades* 4,4,9,1–6<br>ὁ δὲ δὴ πάντα κοσμῶν Ζεὺς καὶ ἐπιτροπεύων καὶ διατιθεὶς εἰσαεί, ψυχὴν βασιλικὴν καὶ βασιλικὸν νοῦν ἔχων, […]. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| 95 | Plato *Timaeus* 33c1–3<br>ὀμμάτων τε γὰρ ἐπεδεῖτο οὐδέν, ὁρατὸν γὰρ οὐδὲν ὑπελείπετο ἔξωθεν, οὐδ᾽ ἀκοῆς, οὐδὲ γὰρ ἀκουστόν· |
| 96 | Plato *Phaedrus* 246b6–c6<br>ψυχὴ πᾶσα παντὸς ἐπιμελεῖται τοῦ ἀψύχου, πάντα δὲ οὐρανὸν περιπολεῖ, ἄλλοτ᾽ ἐν ἄλλοις εἴδεσι γιγνομένη. τελέα μὲν οὖν οὖσα καὶ ἐπτερωμένη μετεωροπορεῖ τε καὶ πάντα τὸν κόσμον διοικεῖ, ἡ δὲ πτερορρυήσασα φέρεται ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γήϊνον λαβοῦσα, αὐτὸ αὑτὸ δοκοῦν κινεῖν διὰ τὴν ἐκείνης δύναμιν, ζῷον τὸ σύμπαν ἐκλήθη, ψυχὴ καὶ σῶμα παγέν, θνητόν τ᾽ ἔσχεν ἐπωνυμίαν· |
| 97 | Plato *Respublica* 515c1–6<br>Παντάπασι δή, ἦν δ᾽ ἐγώ, οἱ τοιοῦτοι οὐκ ἂν ἄλλο τι νομίζοιεν τὸ ἀληθὲς ἢ τὰς τῶν σκευαστῶν σκιάς. Πολλὴ ἀνάγκη, ἔφη. Σκόπει δή, ἦν δ᾽ ἐγώ, αὐτῶν λύσιν τε καὶ ἴασιν τῶν τε δεσμῶν καὶ τῆς ἀφροσύνης, οἵα τις ἂν εἴη, εἰ φύσει τοιάδε συμβαίνοι αὐτοῖς· |
| 98 | Plato *Phaedrus* 247c3–d1<br>Τὸν δὲ ὑπερουράνιον τόπον οὔτε τις ὕμνησέ πω τῶν τῇδε ποιητὴς οὔτε ποτὲ ὑμνήσει κατ᾽ ἀξίαν. ἔχει δὲ ὧδε – τολμητέον γὰρ οὖν τό γε ἀληθὲς εἰπεῖν, ἄλλως τε καὶ περὶ ἀληθείας λέγοντα – ἡ γὰρ ἀχρώματός τε καὶ ἀσχημάτιστος καὶ ἀναφὴς οὐσία ὄντως οὖσα, ψυχῆς κυβερνήτῃ μόνῳ θεατὴ νῷ, περὶ ἣν τὸ τῆς ἀληθοῦς ἐπιστήμης γένος, τοῦτον ἔχει τὸν τόπον. |
| 99 | Plato *Parmenides* 145a1–8<br>Ἀλλὰ μὴν τό γε περιέχον πέρας ἂν εἴη. – Πῶς δ᾽ οὔ; – Τὸ ἓν ἄρα ὂν ἕν τέ ἐστί που καὶ πολλά, καὶ ὅλον καὶ μόρια, καὶ πεπερασμένον καὶ ἄπειρον πλήθει. – Φαίνεται. – Ἆρ᾽ οὖν οὐκ, ἐπείπερ πεπερασμένον, καὶ ἔσχατα ἔχον; – Ἀνάγκη. – Τί δέ; εἰ ὅλον, οὐ καὶ ἀρχὴν ἂν ἔχοι καὶ μέσον καὶ τελευτήν; ἢ οἷόν τέ τι ὅλον εἶναι ἄνευ τριῶν τούτων; κἄν του ἓν ὁτιοῦν αὐτῶν ἀποστατῇ, ἐθελήσει ἔτι ὅλον εἶναι; – Οὐκ ἐθελήσει. |
| 100 | Plato *Gorgias* 498e10–499a1<br>ΣΩ. Συλλόγισαι δὴ κοινῇ μετ᾽ ἐμοῦ τί ἡμῖν συμβαίνει ἐκ τῶν ὡμολογημένων· καὶ δὶς γάρ τοι καὶ τρίς φασιν καλὸν εἶναι τὰ καλὰ λέγειν τε καὶ ἐπισκοπεῖσθαι. |
| 101 | Plato *Phaedo* 83b4–d6<br>Τί τοῦτο, ὦ Σώκρατες; ἔφη ὁ Κέβης. Ὅτι ψυχὴ παντὸς ἀνθρώπου ἀναγκάζεται ἅμα τε ἡσθῆναι σφόδρα ἢ λυπηθῆναι ἐπί τῳ καὶ ἡγεῖσθαι περὶ ὃ ἂν μάλιστα τοῦτο πάσχῃ, τοῦτο ἐναργέστατόν τε εἶναι καὶ ἀληθέστατον, οὐχ οὕτως ἔχον· ταῦτα δὲ μάλιστα <τὰ> ὁρατά· ἢ οὔ; Πάνυ γε. Οὐκοῦν ἐν τούτῳ τῷ πάθει μάλιστα καταδεῖται ψυχὴ ὑπὸ σώματος; Πῶς δή; Ὅτι ἑκάστη ἡδονὴ καὶ λύπη ὥσπερ ἧλον ἔχουσα προσηλοῖ αὐτὴν πρὸς τὸ σῶμα καὶ προσπερονᾷ καὶ ποιεῖ σωματοειδῆ, δοξάζουσαν ταῦτα ἀληθῆ εἶναι ἅπερ ἂν καὶ τὸ σῶμα φῇ. |
| 102 | Plato *Respublica* 353a1–b1<br>Τί δέ; μαχαίρᾳ ἂν ἀμπέλου κλῆμα ἀποτέμοις καὶ σμίλῃ καὶ ἄλλοις πολλοῖς; Πῶς γὰρ οὔ; Ἀλλ᾽ οὐδενί γ᾽ ἂν οἶμαι οὕτω καλῶς ὡς δρεπάνῳ τῷ ἐπὶ τούτῳ ἐργασθέντι. Ἀληθῆ. Ἆρ᾽ οὖν οὐ τοῦτο τούτου ἔργον θήσομεν; Θήσομεν μὲν οὖν. Νῦν δὴ οἶμαι ἄμεινον ἂν μάθοις ὃ ἄρτι ἠρώτων, πυνθανόμενος εἰ οὐ τοῦτο ἑκάστου εἴη ἔργον ὃ ἂν ἢ μόνον τι ἢ κάλλιστα τῶν ἄλλων ἀπεργάζηται. Ἀλλά, ἔφη, μανθάνω τε καί μοι δοκεῖ τοῦτο ἑκάστου πράγματος ἔργον εἶναι. |
| 103 | Plato *Timaeus* 30b6–c1<br>οὕτως οὖν δὴ κατὰ λόγον τὸν εἰκότα δεῖ λέγειν τόνδε τὸν κόσμον ζῷον ἔμψυχον ἔννουν τε τῇ ἀληθείᾳ διὰ τὴν τοῦ θεοῦ γενέσθαι πρόνοιαν. |
| 104 | Plato *Phaedo* 67d4–11<br>Οὐκοῦν τοῦτό γε θάνατος ὀνομάζεται, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; Παντάπασί γε, ἦ δ᾽ ὅς. Λύειν δέ γε αὐτήν, ὥς φαμεν, προθυμοῦνται ἀεὶ μάλιστα καὶ μόνοι οἱ φιλοσοφοῦντες ὀρθῶς, καὶ τὸ μελέτημα αὐτὸ τοῦτό ἐστιν τῶν φιλοσόφων, λύσις καὶ χωρισμὸς ψυχῆς ἀπὸ σώματος· ἢ οὔ; Φαίνεται. |

| **Textpassage der Paraphrase** |
|---|
| Plotinus *Enneades* 4,4,24–34<br>ἀλλ´ ὀμμάτων, φησίν, οὐκ ἐπεδεῖτο. |
| Iamblichus *De mysteriis* 1,7,19–26<br>Νοῦς τοίνυν ἡγεμὼν καὶ βασιλεὺς τῶν ὄντων τέχνη τε δημιουργικὴ τοῦ παντὸς τοῖς μὲν θεοῖς ὡσαύτως ἀεὶ πάρεστι τελέως καὶ αὐταρκῶς καὶ ἀνενδεῶς, κατὰ μίαν ἐνέργειαν ἑστῶσαν ἐν ἑαυτῇ καθαρῶς, ἡ δὲ ψυχὴ νοῦ τε μετέχει μεριστοῦ καὶ πολυειδοῦς εἰς τὴν τοῦ ὅλου τε προστασίαν ἀναποβλέποντος, καὶ αὐτὴ τῶν ἀψύχων ἐπιμελεῖται ἄλλοτε ἐν ἄλλοις εἴδεσιν ἐγγιγνομένη. |
| Iamblichus *De mysteriis* 1,11,60–63<br>Θεραπείας οὖν ἕνεκα τῆς ἐν ἡμῖν ψυχῆς καὶ μετριότητος τῶν διὰ τὴν γένεσιν προσφυομένων αὐτῇ κακῶν, λύσεώς τε ἀπὸ τῶν δεσμῶν καὶ ἀπαλλαγῆς χάριν τὰ τοιαῦτα προσάγεται. |
| Iamblichus *De mysteriis* 1,18,32–36<br>Ἄτοποι οὖν οἵ τε χρῶμα καὶ σχῆμα καὶ ἁφὴν τοῖς νοητοῖς εἴδεσι προστιθέντες, διότι τὰ μεταλαμβάνοντα αὐτῶν εἰσι τοιαῦτα, καὶ οἱ τοῖς οὐρανίοις σώμασι κακίαν ἀνατιθέντες, διότι τὰ μετέχοντα αὐτῶν φύεται ἐνίοτε κακά. |
| Iamblichus *De mysteriis* 1,19,50–56<br>Ἐπὶ δέ γε τῶν θεῶν ἐν τῇ ἑνώσει πάντων ἐστὶν ἡ τάξις, τά τε πρῶτα καὶ δεύτερα αὐτῶν γένη καὶ τὰ περὶ αὐτὰ φυόμενα πολλὰ ἐν ἑνὶ τὰ ὅλα συνυφέστηκε, τό τε πᾶν ἐν αὐτοῖς ἐστι τὸ ἕν, ἀρχή τε καὶ μέσα καὶ τέλη κατ' αὐτὸ τὸ ἓν συνυπάρχει· ὥστ' ἐπί γε τούτων οὐδὲ χρὴ ζητεῖν πόθεν τὸ ἓν ἅπασιν ἐφήκει· |
| Iamblichus *De mysteriis* 1,20,3–6<br>Ἀλλ' ἐπεὶ δεῖ τὰ καλά, ὥς φασι, πολλάκις λέγειν τε καὶ ἐπισκοπεῖν, οὐδ' ἡμεῖς ὑπερβησόμεθα ταῦτα ὡς ἤδη τετυχηκότες ἱκανῆς ἀποκρίσεως· |
| Iamblichus *De mysteriis* 2,6,30–36<br>ἀλλὰ μὴν ἥ γε τῶν ψυχῶν θέα τῶν μὲν ἀχράντων καὶ ἐν ἀγγέλων τάξει ἱδρυμένων ἀναγωγός ἐστι καὶ ψυχῆς σωτήριος, ἐπ' ἐλπίδι τε ἱερᾷ ἐκφαίνεται, καὶ ὧν ἡ ἐλπὶς ἡ ἱερὰ ἀντιποιεῖται ἀγαθῶν τούτων παρέχει τὴν δόσιν· ἡ δὲ τῶν ἑτέρων καταγωγὸς ἐπὶ τὴν γένεσιν ὑπάρχει, φθείρει τε τοὺς τῆς ἐλπίδος καρποὺς καὶ παθῶν πληροῖ προσηλούντων τοὺς θεωροῦντας τοῖς σώμασιν. |
| Iamblichus *De mysteriis* 4,1,32–36<br>Ὥσπερ οὖν μαχαίρας ἔργον ἐστὶ τὸ τέμνειν καὶ οὐδὲν ἄλλο ποιεῖ ἢ τοῦτο, οὕτω καὶ τῶν ἐν τῷ παντὶ διῃρημένων πνευμάτων κατὰ φύσεως μεριστὴν ἀνάγκην τὸ μὲν διαιρεῖ, ἄλλο δὲ συνάγει τὰ γιγνόμενα. |
| Iamblichus *De mysteriis* 4,12,3<br>Δεῖ δὴ νοεῖν ὡς ἓν ζῷόν ἐστι τὸ πᾶν. |
| Iamblichus *Protrepticus* 13,8–12<br>ἡ δὲ ἀπαλλαγὴ τῶν κακῶν, ἣν ὀλίγοι καθορῶσι, προτρέπει εἰς τὴν λύσιν τὴν ἀπὸ τοῦ σώματος καὶ τὴν ζωὴν τὴν καθ' ἑαυτὴν τῆς ψυχῆς, ἥντινα μελέτην θανάτου προσαγορεύομεν. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **105** | Plato *Respublica* 588b10–c10<br>Εἰκόνα πλάσαντες τῆς ψυχῆς λόγῳ, ἵνα εἰδῇ ὁ ἐκεῖνα λέγων οἷα ἔλεγεν. Ποίαν τινά; ἦ δ’ ὅς. Τῶν τοιούτων τινά, ἦν δ’ ἐγώ, οἷαι μυθολογοῦνται παλαιαὶ γενέσθαι φύσεις, ἥ τε Χιμαίρας καὶ ἡ Σκύλλης καὶ Κερβέρου, καὶ ἄλλαι τινὲς συχναὶ λέγονται συμπεφυκυῖαι ἰδέαι πολλαὶ εἰς ἓν γενέσθαι. Λέγονται γάρ, ἔφη. Πλάττε τοίνυν μίαν μὲν ἰδέαν θηρίου ποικίλου καὶ πολυκεφάλου, ἡμέρων δὲ θηρίων ἔχοντος κεφαλὰς κύκλῳ καὶ ἀγρίων, καὶ δυνατοῦ μεταβάλλειν καὶ φύειν ἐξ αὑτοῦ πάντα ταῦτα. |
| **106** | Plato *Alcibiades 1*,130e2–131c4<br>ΣΩ. Τοῦτ’ ἄρα ἦν ὃ καὶ ὀλίγῳ ἔμπροσθεν εἴπομεν, ὅτι Σωκράτης Ἀλκιβιάδῃ διαλέγεται λόγῳ χρώμενος, οὐ πρὸς τὸ σὸν πρόσωπον, ὡς ἔοικεν, ἀλλὰ πρὸς τὸν Ἀλκιβιάδην ποιούμενος τοὺς λόγους· τοῦτο δέ ἐστιν ἡ ψυχή. ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Ψυχὴν ἄρα ἡμᾶς κελεύει γνωρίσαι ὁ ἐπιτάττων γνῶναι ἑαυτόν. ΑΛ. Ἔοικεν. ΣΩ. Ὅστις ἄρα τῶν τοῦ σώματός τι γιγνώσκει, τὰ αὑτοῦ ἀλλ’ οὐχ αὑτὸν ἔγνωκεν. ΑΛ. Οὕτως. ΣΩ. Οὐδεὶς ἄρα τῶν ἰατρῶν ἑαυτὸν γιγνώσκει, καθ’ ὅσον ἰατρός, οὐδὲ τῶν παιδοτριβῶν, καθ’ ὅσον παιδοτρίβης. ΑΛ. Οὐκ ἔοικεν. ΣΩ. Πολλοῦ ἄρα δέουσιν οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοὶ γιγνώσκειν ἑαυτούς. οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοί γε, ὡς ἔοικεν, ἀλλ’ ἔτι πορρωτέρω τῶν ἑαυτῶν κατά γε τὰς τέχνας ἃς ἔχουσιν· τὰ γὰρ τοῦ σώματος γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται. ΑΛ. Ἀληθῆ λέγεις. ΣΩ. Εἰ ἄρα σωφροσύνη ἐστὶ τὸ ἑαυτὸν γιγνώσκειν, οὐδεὶς τούτων σώφρων κατὰ τὴν τέχνην. ΑΛ. Οὔ μοι δοκεῖ. ΣΩ. Διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι καὶ οὐκ ἀνδρὸς ἀγαθοῦ μαθήματα. ΑΛ. Πάνυ μὲν οὖν. ΣΩ. Οὐκοῦν πάλιν ὅστις αὖ σῶμα θεραπεύει, τὰ ἑαυτοῦ ἀλλ’ οὐχ αὑτὸν θεραπεύει; ΑΛ. Κινδυνεύει. ΣΩ. Ὅστις δέ γε τὰ χρήματα, οὔθ’ ἑαυτὸν οὔτε τὰ ἑαυτοῦ, ἀλλ’ ἔτι πορρωτέρω τῶν ἑαυτοῦ; ΑΛ. Ἔμοιγε δοκεῖ. ΣΩ. Οὐ τὰ αὑτοῦ ἄρα ἔτι πράττει ὁ χρηματιστής. ΑΛ. Ὀρθῶς. |
| **107** | Plato *Leges* 726a1–728a5<br>ΑΘ. Ἀκούοι δὴ πᾶς ὅσπερ νυνδὴ τὰ περὶ θεῶν τε ἤκουε καὶ τῶν φίλων προπατόρων· πάντων γὰρ τῶν αὑτοῦ κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον, οἰκειότατον ὄν. τὰ δ’ αὑτοῦ διττὰ πάντ’ ἐστὶ πᾶσιν. τὰ μὲν οὖν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δὲ ἥττω καὶ χείρω δοῦλα· τῶν οὖν αὑτοῦ τὰ δεσπόζοντα ἀεὶ προτιμητέον τῶν δουλευόντων. οὕτω δὴ τὴν αὑτοῦ ψυχὴν μετὰ θεοὺς ὄντας δεσπότας καὶ τοὺς τούτοις ἑπομένους τιμᾶν δεῖν λέγων δευτέραν, ὀρθῶς παρακελεύομαι. τιμᾷ δ’ ὡς ἔπος εἰπεῖν ἡμῶν οὐδεὶς ὀρθῶς, δοκεῖ δέ· θεῖον γὰρ ἀγαθόν που τιμή, τῶν δὲ κακῶν οὐδὲν τίμιον, ὁ δ’ ἡγούμενος ἤ τισι λόγοις ἢ δώροις αὐτὴν αὔξειν ἤ τισιν ὑπείξεσιν, μηδὲν βελτίω δὲ ἐκ χείρονος αὐτὴν ἀπεργαζόμενος, τιμᾶν μὲν δοκεῖ, δρᾷ δὲ τοῦτο οὐδαμῶς. αὐτίκα παῖς εὐθὺς γενόμενος ἄνθρωπος πᾶς ἡγεῖται πάντα ἱκανὸς εἶναι γιγνώσκειν, καὶ τιμᾶν οἴεται ἐπαινῶν τὴν αὑτοῦ ψυχήν, καὶ προθυμούμενος ἐπιτρέπει πράττειν ὅτι ἂν ἐθέλῃ, τὸ δὲ νῦν λεγόμενόν ἐστιν ὡς δρῶν ταῦτα βλάπτει καὶ οὐ τιμᾷ· δεῖ δέ, ὥς φαμεν, μετά γε θεοὺς δευτέραν. οὐδέ γε ὅταν ἄνθρωπος τῶν αὑτοῦ ἑκάστοτε ἁμαρτημάτων μὴ ἑαυτὸν αἴτιον ἡγῆται καὶ τῶν πλείστων κακῶν καὶ μεγίστων, ἀλλὰ ἄλλους, ἑαυτὸν δὲ ἀεὶ ἀναίτιον ἐξαιρῇ, τιμῶν τὴν αὑτοῦ ψυχήν, ὡς δὴ δοκεῖ, ὁ δὲ πολλοῦ δεῖ δρᾶν τοῦτο· βλάπτει γάρ. οὐδ’ ὁπόταν ἡδοναῖς παρὰ λόγον τὸν τοῦ νομοθέτου καὶ ἔπαινον χαρίζηται, τότε οὐδαμῶς τιμᾷ, ἀτιμάζει δὲ κακῶν καὶ μεταμελείας ἐμπιμπλὰς αὐτήν. οὐδέ γε ὁπόταν αὖ τἀναντία τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας μὴ διαπονῇ καρτερῶν ἀλλὰ ὑπείκῃ, τότε οὐ τιμᾷ ὑπείκων· ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται δρῶν τὰ τοιαῦτα σύμπαντα. οὐδ’ ὁπόταν ἡγῆται τὸ ζῆν πάντως ἀγαθὸν εἶναι, τιμᾷ, ἀτιμάζει δ’ αὐτὴν καὶ τότε· τὰ γὰρ ἐν Ἅιδου πράγματα πάντα κακὰ ἡγουμένης τῆς ψυχῆς εἶναι, ὑπείκει καὶ οὐκ ἀντιτείνει διδάσκων τε καὶ ἐλέγχων ὡς οὐκ οἶδεν οὐδ’ εἰ τἀναντία πέφυκεν μέγιστα εἶναι πάντων ἀγαθῶν ἡμῖν τὰ περὶ τοὺς θεοὺς τοὺς ἐκεῖ. οὐδὲ μὴν πρὸ ἀρετῆς ὁπόταν αὖ προτιμᾷ τις κάλλος, τοῦτ’ ἔστιν οὐχ ἕτερον ἢ ἡ τῆς ψυχῆς ὄντως καὶ πάντως ἀτιμία. ψυχῆς γὰρ σῶμα ἐντιμότερον οὗτος ὁ λόγος φησὶν εἶναι, ψευδόμενος· οὐδὲν γὰρ γηγενὲς Ὀλυμπίων ἐντιμότερον, ἀλλ’ ὁ περὶ ψυχῆς ἄλλως δοξάζων ἀγνοεῖ ὡς θαυμαστοῦ τούτου κτήματος ἀμελεῖ. οὐδέ γε ὁπόταν χρήματά τις ἐρᾷ κτᾶσθαι μὴ καλῶς, ἢ μὴ δυσχερῶς φέρῃ κτώμενος, δώροις ἄρα τιμᾷ τότε τὴν αὑτοῦ ψυχήν – παντὸς μὲν οὖν λείπει – τὸ γὰρ αὐτῆς τίμιον ἅμα καὶ καλὸν ἀποδίδοται σμικροῦ χρυσίου· πᾶς γὰρ ὅ τ’ ἐπὶ γῆς καὶ ὑπὸ γῆς χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος. |

| Textpassage der Paraphrase |
| --- |
| Iamblichus *Protrepticus* 13,23–14.3<br>ἐνταῦθα καὶ τὸ διττὸν τῆς ἀνθρωπίνης φύσεως ἐπέδειξε, καὶ τὸ παραπεφυκὸς ἡμῖν ἀπὸ τῆς γενέσεως ἀλλότριον ζῷον, ὅπερ οἱ μὲν πολυκέφαλον θηρίον, οἱ δὲ θνητόν τι ζωῆς εἶδος, ἄλλοι δὲ φύσιν γενεσιουργὸν καλοῦσιν· |
| Iamblichus *Protrepticus* 28,19–29,14<br>Ἀπ' ἄλλης δὲ ἀρχῆς διαιροῦσι τὰ τοιαῦτα· χωρὶς δήπουθέν ἐστιν αὐτὸς ἕκαστος, τὸ ἑαυτοῦ, ἅ ἐστι τῶν αὐτοῦ. αὐτὸς μὲν οὖν ἕκαστός ἐστιν ἡμῶν ἡ ψυχή,τὸ δ' αὐτοῦ ἐστι τὸ σῶμα καὶ τὰ τοῦ σώματος, ἃ δ' ἐστὶ τῶν αὐτοῦ, τὰ χρήματά ἐστιν, ὅσα τοῦ σώματος ἕνεκα κτώμεθα. καὶ ἐπιστῆμαι τοίνυν τρεῖς εἰσιν ἐπὶ τοῖς τρισὶ τούτοις πράγμασιν. ὁ μὲν οὖν τὰ τοῦ σώματος γινώσκων, τὰ αὐτοῦ ἀλλ' οὐχ αὑτὸν ἔγνωκεν. ὅθεν οἱ ἰατροὶ οὐχ ἑαυτοὺς γιγνώσκουσι καθόσον ἰατροί, οὐδὲ οἱ παιδοτρῖβαι καθόσον παιδοτρῖβαι. καὶ ὅσοι δὲ πορρωτέρω τῶν ἑαυτῶν τὰ περὶ τὸ σῶμα. γιγνώσκουσιν, οἷς τοῦτο θεραπεύεται, ὡς οἱ γεωργοὶ καὶ οἱ ἄλλοι δημιουργοί, πολλοῦ δὴ δέουσιν ἑαυτοὺς γιγνώσκειν· οὐδὲ γὰρ τὰ ἑαυτῶν οὗτοι γιγνώσκουσι. διὰ ταῦτα δὴ καὶ βάναυσοι αὗται αἱ τέχναι δοκοῦσιν εἶναι. μόνη δὲ σωφροσύνη ἐστὶν ἡ τῆς ψυχῆς γνῶσις, καὶ τῷ ὄντι ἡμετέρα ἀρετὴ μόνη ἐκείνη ὑπάρχει, ἥτις τὴν ψυχὴν βελτίονα ἀπεργάζεται. ταύτης ἄρα μάλιστα ἀντιποιεῖσθαι ἄξιον τοὺς βουλομένους ὁμολογουμένως τῇ ἑαυτῶν οὐσίᾳ διακοσμεῖν τὸν ἑαυτῶν βίον καὶ ἑαυτοὺς ἀπεργάζεσθαι καλοὺς καὶ ἀγαθούς, καὶ τῷ ὄντι ἑαυτῶν ἐπιμελεῖσθαι προαιρουμένους. |
| Iamblichus *Protrepticus* 29,15–30,2<br>Τῆς δὲ αὐτῆς ἔχεται γνώμης καὶ ταῦτα· ὡς τῶν ἡμετέρων κτημάτων μετὰ θεοὺς ψυχὴ θειότατον οἰκειότατόν τέ ἐστι, τὰ δ' ἡμέτερα διττὰ πάντα ἐστὶ πᾶσι, τὰ μὲν κρείττω καὶ ἀμείνω δεσπόζοντα, τὰ δὲ ἥττω καὶ χείρω δοῦλα. τὰ δεσπόζοντα οὖν προτιμητέον τῶν δουλευόντων. οὕτως οὖν τὴν ψυχὴν μετὰ θεοὺς τῶν ἄλλων προτιμητέον πάντων· τιμᾷ δὲ αὐτὴν οὐχ ὁ χείρονα ἐκ βελτίονος ἀπεργαζόμενος, οὐδ' ὁ κακῶν καὶ μεταμελείας ἐμπιπλὰς αὐτήν, οὐδ' ὁ φεύγων τοὺς ἐπαινουμένους πόνους καὶ φόβους καὶ ἀλγηδόνας καὶ λύπας (ἄτιμον γὰρ αὐτὴν ἀπεργάζεται ὁ τοιοῦτος), οὐδ' ὁ φεύγων τὸν θάνατον (τὴν γὰρ λύσιν τὴν ἀπὸ τοῦ σώματος καὶ τῆς ψυχῆς τὴν καθ' ἑαυτὴν ζωὴν δυσχεραίνοιτο ἂν ὁ τοιοῦτος), οὐδ' ὁ πρὸ ἀρετῆς προτιμῶν κάλλος ἢ χρήματα (τῶν γὰρ χειρόνων οὕτω τὴν κρείττονα ψυχὴν καταδεεστέραν ἀποφαίνει). |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **108** | Plato *Respublica* 588e3–589b6<br>Λέγωμεν δὴ τῷ λέγοντι ὡς λυσιτελεῖ τούτῳ ἀδικεῖν τῷ ἀνθρώπῳ, δίκαια δὲ πράττειν οὐ συμφέρει, ὅτι οὐδὲν ἄλλο ἢ λυσιτελεῖν αὐτῷ τὸ παντοδαπὸν θηρίον εὐωχοῦντι ποιεῖν ἰσχυρὸν καὶ τὸν λέοντα καὶ τὰ περὶ τὸν λέοντα, τὸν δὲ ἄνθρωπον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὥστε ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον ποιεῖν, ἀλλ' ἐᾶν αὐτὰ ἐν αὐτοῖς δάκνεσθαί τε καὶ μαχόμενα ἐσθίειν ἄλληλα. Παντάπασι γάρ, ἔφη, ταῦτ' ἂν λέγοι ὁ τὸ ἀδικεῖν ἐπαινῶν. Οὐκοῦν αὖ ὁ τὰ δίκαια λέγων λυσιτελεῖν φαίη ἂν δεῖν ταῦτα πράττειν καὶ ταῦτα λέγειν, ὅθεν τοῦ ἀνθρώπου ὁ ἐντὸς ἄνθρωπος ἔσται ἐγκρατέστατος, καὶ τοῦ πολυκεφάλου θρέμματος ἐπιμελήσεται ὥσπερ γεωργός, τὰ μὲν ἥμερα τρέφων καὶ τιθασεύων, τὰ δὲ ἄγρια ἀποκωλύων φύεσθαι, σύμμαχον ποιησάμενος τὴν τοῦ λέοντος φύσιν, καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ αὑτῷ, οὕτω θρέψει; |
| **109** | Plato *Timaeus* 42b2–c1<br>ὧν εἰ μὲν κρατήσοιεν, δίκῃ βιώσοιντο, κρατηθέντες δὲ ἀδικίᾳ. καὶ ὁ μὲν εὖ τὸν προσήκοντα χρόνον βιούς, πάλιν εἰς τὴν τοῦ συννόμου πορευθεὶς οἴκησιν ἄστρου, βίον εὐδαίμονα καὶ συνήθη ἕξοι, σφαλεὶς δὲ τούτων εἰς γυναικὸς φύσιν ἐν τῇ δευτέρᾳ γενέσει μεταβαλοῖ· |
| **110** | Plato *Respublica* 614e1–615a4<br>καὶ τὰς ἀεὶ ἀφικνουμένας ὥσπερ ἐκ πολλῆς πορείας φαίνεσθαι ἥκειν, καὶ ἀσμένας εἰς τὸν λειμῶνα ἀπιούσας οἷον ἐν πανηγύρει κατασκηνᾶσθαι, καὶ ἀσπάζεσθαί τε ἀλλήλας ὅσαι γνώριμαι, καὶ πυνθάνεσθαι τάς τε ἐκ τῆς γῆς ἡκούσας παρὰ τῶν ἑτέρων τὰ ἐκεῖ καὶ τὰς ἐκ τοῦ οὐρανοῦ τὰ παρ' ἐκείναις. διηγεῖσθαι δὲ ἀλλήλαις τὰς μὲν ὀδυρομένας τε καὶ κλαούσας, ἀναμιμνῃσκομένας ὅσα τε καὶ οἷα πάθοιεν καὶ ἴδοιεν ἐν τῇ ὑπὸ γῆς πορείᾳ – εἶναι δὲ τὴν πορείαν χιλιέτη – τὰς δ' αὖ ἐκ τοῦ οὐρανοῦ εὐπαθείας διηγεῖσθαι καὶ θέας ἀμηχάνους τὸ κάλλος. |
| **111** | Plato *Phaedrus* 248e3–249b1<br>ἐν δὴ τούτοις ἅπασιν ὃς μὲν ἂν δικαίως διαγάγῃ ἀμείνονος μοίρας μεταλαμβάνει, ὃς δ' ἂν ἀδίκως, χείρονος· εἰς μὲν γὰρ τὸ αὐτὸ ὅθεν ἥκει ἡ ψυχὴ ἑκάστη οὐκ ἀφικνεῖται ἐτῶν μυρίων – οὐ γὰρ πτεροῦται πρὸ τοσούτου χρόνου – πλὴν ἡ τοῦ φιλοσοφήσαντος ἀδόλως ἢ παιδεραστήσαντος μετὰ φιλοσοφίας, αὗται δὲ τρίτῃ περιόδῳ τῇ χιλιετεῖ, ἐὰν ἕλωνται τρὶς ἐφεξῆς τὸν βίον τοῦτον, οὕτω πτερωθεῖσαι τρισχιλιοστῷ ἔτει ἀπέρχονται. αἱ δὲ ἄλλαι, ὅταν τὸν πρῶτον βίον τελευτήσωσιν, κρίσεως ἔτυχον, κριθεῖσαι δὲ αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν, αἱ δ' εἰς τοὐρανοῦ τινα τόπον ὑπὸ τῆς Δίκης κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου. |
| **112** | Plato *Menexenus* 247e5–248a4<br>πάλαι γὰρ δὴ τὸ Μηδὲν ἄγαν λεγόμενον καλῶς δοκεῖ λέγεσθαι· τῷ γὰρ ὄντι εὖ λέγεται. ὅτῳ γὰρ ἀνδρὶ εἰς ἑαυτὸν ἀνήρτηται πάντα τὰ πρὸς εὐδαιμονίαν φέροντα ἢ ἐγγὺς τούτου, καὶ μὴ ἐν ἄλλοις ἀνθρώποις αἰωρεῖται ἐξ ὧν ἢ εὖ ἢ κακῶς πραξάντων πλανᾶσθαι ἠνάγκασται καὶ τὰ ἐκείνου, τούτῳ ἄριστα παρεσκεύασται ζῆν, οὗτός ἐστιν ὁ σώφρων καὶ οὗτος ὁ ἀνδρεῖος καὶ φρόνιμος. |
| **113** | Plato *Respublica* 522c5–8<br>Τὸ φαῦλον τοῦτο, ἦν δ' ἐγώ, τὸ ἕν τε καὶ τὰ δύο καὶ τὰ τρία διαγιγνώσκειν· λέγω δὲ αὐτὸ ἐν κεφαλαίῳ ἀριθμόν τε καὶ λογισμόν. ἢ οὐχ οὕτω περὶ τούτων ἔχει, ὡς πᾶσα τέχνη τε καὶ ἐπιστήμη ἀναγκάζεται αὐτῶν μέτοχος γίγνεσθαι; |
| **114** | Plato *Philebus* 16c10–d7<br>δεῖν οὖν ἡμᾶς τούτων οὕτω διακεκοσμημένων ἀεὶ μίαν ἰδέαν περὶ παντὸς ἑκάστοτε θεμένους ζητεῖν – εὑρήσειν γὰρ ἐνοῦσαν – ἐὰν οὖν μεταλάβωμεν, μετὰ μίαν δύο, εἴ πως εἰσί, σκοπεῖν, εἰ δὲ μή, τρεῖς ἤ τινα ἄλλον ἀριθμόν, καὶ τῶν ἓν ἐκείνων ἕκαστον πάλιν ὡσαύτως, μέχριπερ ἂν τὸ κατ' ἀρχὰς ἓν μὴ ὅτι ἓν καὶ πολλὰ καὶ ἄπειρά ἐστι μόνον ἴδῃ τις, ἀλλὰ καὶ ὁπόσα· |

| Textpassage der Paraphrase |
|---|
| Iamblichus *Protrepticus* 31,19–32,5<br>οὐ γὰρ δὴ λυσιτελεῖ τὸ παντοδαπὸν θηρίον ὥσπερ τὴν ἐπιθυμίαν εὐωχοῦντας ποιεῖν ἰσχυρόν, οὐδὲ τὸν λέοντα οἷον τὸν θυμὸν καὶ τὰ περὶ τὸν λέοντα τρέφειν ἄξιον καὶ ἰσχυρὰ ποιεῖν ἐν ἡμῖν, τὸν δὲ ἄνθρωπον ὥσπερ τὸν λόγον λιμοκτονεῖν καὶ ποιεῖν ἀσθενῆ, ὡς ἕλκεσθαι ὅπῃ ἂν ἐκείνων ὁπότερον ἄγῃ, καὶ μηδὲν ἕτερον ἑτέρῳ συνεθίζειν μηδὲ φίλον ποιεῖν· ἀλλὰ πολὺ μᾶλλον τὸν ἐν ἡμῖν θεῖον ἄνθρωπον τοῦ πολυκεφάλου θρέμματος ἐγκρατῆ ποιητέον, ὅπως ἂν τὰ μὲν ἥμερα τῶν ἐπιθυμιῶν εἴδη τρέφῃ καὶ τιθασσεύῃ, τὰ δὲ ἄγρια ἀποκωλύῃ φύεσθαι, σύμμαχον ποιησάμενος τὴν τοῦ θυμοῦ φύσιν καὶ κοινῇ πάντων κηδόμενος, φίλα ποιησάμενος ἀλλήλοις τε καὶ ἑαυτῷ, οὕτως αὐτὰ θρέψει. |
| Iamblichus *Protrepticus* 60,19–61,1<br>ἐὰν δὲ τῆς οὐρανίας ὁδοῦ λαβώμεθα καὶ ἐπὶ τὸ σύννομον ἄστρον τὴν ζωὴν τὴν ἑαυτῶν ἀπερείσωμεν, τότε φιλοσοφήσομεν ζῶντες ἀληθῶς καὶ θεώμενοι θεωρίας ἀμηχάνους τὸ κάλλος, ἀτενίζοντες τῇ ψυχῇ πρὸς τὴν ἀλήθειαν ἀραρότως καὶ θεώμενοι τὴν τῶν θεῶν ἀρχήν, εὐφραινόμενοι καὶ χαίροντες συνεχῶς ἀπὸ τοῦ θεωρεῖν, ἡδόμενοι χωρὶς πάσης λύπης. |
| Iamblichus *Protrepticus* 60,19–61,1<br>ἐὰν δὲ τῆς οὐρανίας ὁδοῦ λαβώμεθα καὶ ἐπὶ τὸ σύννομον ἄστρον τὴν ζωὴν τὴν ἑαυτῶν ἀπερείσωμεν, τότε φιλοσοφήσομεν ζῶντες ἀληθῶς καὶ θεώμενοι θεωρίας ἀμηχάνους τὸ κάλλος, ἀτενίζοντες τῇ ψυχῇ πρὸς τὴν ἀλήθειαν ἀραρότως καὶ θεώμενοι τὴν τῶν θεῶν ἀρχήν, εὐφραινόμενοι καὶ χαίροντες συνεχῶς ἀπὸ τοῦ θεωρεῖν, ἡδόμενοι χωρὶς πάσης λύπης. |
| Iamblichus *Protrepticus* 71.1–6<br>ἡ μὲν γὰρ ἀμείνων ψυχὴ μετὰ θεῶν οἰκεῖ καὶ περιπορεύεται κατ' οὐρανὸν βελτίονός τε λήξεως τυγχάνει, ἡ δὲ ἀδίκων ἔργων ἁψαμένη καὶ ἀνοσιουργίας πλησθεῖσα καὶ ἀσεβείας εἰς τὰ ὑπὸ γῆν δικαιωτήρια ἐλθοῦσα δίκης τῆς προσηκούσης μεταλαγχάνει. |
| Iamblichus *Protrepticus* 99,15–18<br>διόπερ ἐπεὶ φιλοσοφία εἰς ἑαυτὸν ἀνηρτῆσθαι ποιεῖ τῷ ἀγαθῷ πάντα, παθῶν δὲ καὶ τῆς ἔξω χρείας ἀφίστησιν, εἴη ἂν χρησιμωτάτη πασῶν πρὸς τὸν εὐδαίμονα βίον. |
| Iamblichus *In Nicomachi arithmeticam introductionem* 3,16–21<br>διὰ δὴ τοῦτο παραλαμβάνειν δεῖ τὴν μαθηματικὴν ἐπιστήμην τῶν ἀριθμῶν. καὶ γὰρ ὡς ἐν ὑποθέσει δεῖ προκεῖσθαι ταύτην· προϋποκειμένης γὰρ αὐτῆς, καὶ τὰς ἄλλας παραγίγνεσθαι ἐπιστήμας δυνατόν, ἄνευ δὲ ταύτης οὐδὲ ἐκεῖναι παραγίγνονται. |
| Iamblichus *De communi mathematica scientia* 1,1–8<br>Ἡ μὲν πρόθεσις τῆς παρούσης ἐπισκέψεως τὴν κοινὴν βούλεται τῶν μαθημάτων θεωρίαν παραδεῖξαι, τίς ἐστιν ἡ ὅλη καὶ τίνα ἔχει μίαν αἰτίαν καὶ οὐσίαν πρεσβυτάτην προηγουμένην, μετὰ μίαν δὲ δύο εἴ πως εἰσὶν ἀρχαὶ ταύτης ἐπισκεψόμεθα, καὶ μετὰ ταύτην τὴν διχοτομίαν εἴ τις ἐστὶν ἀριθμὸς ὡρισμένος τῶν ἐν αὐτοῖς γενῶν πειρασόμεθα ἀπολογίζεσθαι μετ' ἐπιστημονικῆς τινος διαιρέσεως· |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **115** | Plato *Respublica* 527d6–e3<br>τὸ δ᾽ ἔστιν οὐ πάνυ φαῦλον ἀλλὰ χαλεπὸν πιστεῦσαι ὅτι ἐν τούτοις τοῖς μαθήμασιν ἑκάστου ὄργανόν τι ψυχῆς ἐκκαθαίρεταί τε καὶ ἀναζωπυρεῖται ἀπολλύμενον καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὂν σωθῆναι μυρίων ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἀλήθεια ὁρᾶται. |
| **116** | Plato *Respublica* 530d6–11<br>Κινδυνεύει, ἔφην, ὡς πρὸς ἀστρονομίαν ὄμματα πέπηγεν, ὣς πρὸς ἐναρμόνιον φορὰν ὦτα παγῆναι, καὶ αὗται ἀλλήλων ἀδελφαί τινες αἱ ἐπιστῆμαι εἶναι, ὡς οἵ τε Πυθαγόρειοί φασι καὶ ἡμεῖς, ὦ Γλαύκων, συγχωροῦμεν. ἢ πῶς ποιοῦμεν; Οὕτως, ἔφη. |
| **117** | Plato *Epinomis* 991d8–992c3<br>ὁ δὲ τρόπος ὅδε – ἀνάγκη γὰρ τό γε τοσοῦτον φράζειν – πᾶν διάγραμμα ἀριθμοῦ τε σύστημα καὶ ἁρμονίας σύστασιν ἅπασαν τῆς τε τῶν ἄστρων περιφορᾶς τὴν ὁμολογίαν οὖσαν μίαν ἁπάντων ἀναφανῆναι δεῖ τῷ κατὰ τρόπον μανθάνοντι, φανήσεται δέ, ἄν, ὃ λέγομεν, ὀρθῶς τις εἰς ἓν βλέπων μανθάνῃ – δεσμὸς γὰρ πεφυκὼς πάντων τούτων εἷς ἀναφανήσεται διανοουμένοις – εἰ δ᾽ ἄλλως πως ταῦτα μεταχειριεῖταί τις, τύχην δεῖ καλεῖν, ὥσπερ καὶ λέγομεν. οὐ γὰρ ἄνευ γε τούτων μήποτέ τις ἐν πόλεσιν εὐδαίμων γένηται φύσις, ἀλλ᾽ οὗτος ὁ τρόπος, αὕτη ἡ τροφή, ταῦτα τὰ μαθήματα· εἴτε χαλεπὰ εἴτε ῥᾴδια, ταύτῃ πορευτέον. ἀμελῆσαι δὲ οὐ θεμιτόν ἐστιν θεῶν, καταφανοῦς γενομένης τῆς πάντων αὐτῶν κατὰ τρόπον λεγομένης φήμης εὐτυχοῦς. τὸν δὲ σύμπαντα ταῦτα οὕτως εἰληφότα, τοῦτον λέγω τὸν ἀληθέστατα σοφώτατον· ὃν καὶ διισχυρίζομαι παίζων καὶ σπουδάζων ἅμα, ὅτε θανάτῳ τις τῶν τοιούτων τὴν αὑτοῦ μοῖραν ἀναπλήσει, σχεδὸν ἐάνπερ ἔτ᾽ ἀποθανὼν, μήτε μεθέξειν ἔτι πολλῶν τότε καθάπερ νῦν αἰσθήσεων, μιᾶς τε μοίρας μετειληφότα μόνον καὶ ἐκ πολλῶν ἕνα γεγονότα, εὐδαίμονά τε ἔσεσθαι καὶ σοφώτατον ἅμα καὶ μακάριον, εἴτε τις ἐν ἠπείροις εἴτ᾽ ἐν νήσοις μακάριος ὢν ζῇ, κἀκεῖνον μεθέξειν τῆς τοιαύτης ἀεὶ τύχης, κεἴτε δημοσίᾳ τις ἐπιτηδεύσας ταῦτα εἴτε ἰδίᾳ διαβιῷ, τὰ αὐτὰ καὶ ὡσαύτως αὐτὸν πράξειν παρὰ θεῶν. |
| **118** | Plato *Respublica* 527d6–e3<br>τὸ δ᾽ ἔστιν οὐ πάνυ φαῦλον ἀλλὰ χαλεπὸν πιστεῦσαι ὅτι ἐν τούτοις τοῖς μαθήμασιν ἑκάστου ὄργανόν τι ψυχῆς ἐκκαθαίρεταί τε καὶ ἀναζωπυρεῖται ἀπολλύμενον καὶ τυφλούμενον ὑπὸ τῶν ἄλλων ἐπιτηδευμάτων, κρεῖττον ὂν σωθῆναι μυρίων ὀμμάτων· μόνῳ γὰρ αὐτῷ ἀλήθεια ὁρᾶται. |
| **119** | Plato *Respublica* 546b3–c6<br>ἔστι δὲ θείῳ μὲν γεννητῷ περίοδος ἣν ἀριθμὸς περιλαμβάνει τέλειος, ἀνθρωπείῳ δὲ ἐν ᾧ πρώτῳ αὐξήσεις δυνάμεναί τε καὶ δυναστευόμεναι, τρεῖς ἀποστάσεις, τέτταρας δὲ ὅρους λαβοῦσαι ὁμοιούντων τε καὶ ἀνομοιούντων καὶ αὐξόντων καὶ φθινόντων, πάντα προσήγορα καὶ ῥητὰ πρὸς ἄλληλα ἀπέφηναν· ὧν ἐπίτριτος πυθμὴν πεμπάδι συζυγεὶς δύο ἁρμονίας παρέχεται τρὶς αὐξηθείς, τὴν μὲν ἴσην ἰσάκις, ἑκατὸν τοσαυτάκις, τὴν δὲ ἰσομήκη μὲν τῇ, προμήκη δέ, ἑκατὸν μὲν ἀριθμῶν ἀπὸ διαμέτρων ῥητῶν πεμπάδος, δεομένων ἑνὸς ἑκάστων, ἀρρήτων δὲ δυοῖν, ἑκατὸν δὲ κύβων τριάδος. |
| **120** | Plato *Respublica* 462a9–e3<br>Ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ μὲν περιαλγεῖς, οἱ δὲ περιχαρεῖς γίγνωνται ἐπὶ τοῖς αὐτοῖς παθήμασι τῆς πόλεώς τε καὶ τῶν ἐν τῇ πόλει; Τί δ᾽ οὔ; Ἆρ᾽ οὖν ἐκ τοῦδε τὸ τοιόνδε γίγνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν; καὶ περὶ τοῦ ἀλλοτρίου κατὰ ταὐτά; |

| **Textpassage der Paraphrase** |
|---|
| Iamblichus *De communi mathematica scientia* 6,165–168<br>ὁλκὰ ἄρα ψυχῆς πρὸς ἀλήθειαν εἴη ἂν ταῦτα, καὶ ἀπεργαστικὰ φιλοσόφου διανοίας πρὸς τὸ ἄνω σχεῖν ἃ νῦν κάτω οὐ δέον ἔχομεν· μόνοις γὰρ αὐτοῖς ἀλήθεια ὁρᾶται. |
| Iamblichus *De communi mathematica scientia* 7,61–63<br>διόπερ περὶ ἀδελφὰ τὰ ὑποκείμενα καὶ αὐτὰς γενομένας, εὔλογον ἀδελφὰς καὶ τὰς ἐπιστήμας ταύτας νομίζειν, ἵνα μὴ ἀπαιδευτῇ τὸ Ἀρχύτειον· |
| Iamblichus *De communi mathematica scientia* 7,61–77<br>διόπερ περὶ ἀδελφὰ τὰ ὑποκείμενα καὶ αὐτὰς γενομένας, εὔλογον ἀδελφὰς καὶ τὰς ἐπιστήμας ταύτας νομίζειν, ἵνα μὴ ἀπαιδευτῇ τὸ Ἀρχύτειον· 'ταῦτα γὰρ τὰ μαθήματα δοκοῦντι εἶμεν ἀδελφά', ἀλλήλων τε ἐχόμενα τρόπον ἁλύσεως κρίκων ἡγεῖσθαι, καὶ ἐφ' ἕνα σύνδεσμον καταλήγουσα, ὥς φησιν ὁ θειότατος Πλάτων, καὶ μίαν ἀναφαίνεσθαι προσήκειν τούτων τῶν μαθημάτων τὴν συγγένειαν τῷ κατὰ τρόπον μανθάνοντι, τὸν δὲ σύμπαντα ταῦτα οὕτως εἰληφότα, ὡς αὐτὸς ὑποτίθεται, τοῦτον δὴ καλεῖ τὸν ἀληθέστατα σοφώτατον καὶ διισχυρίζεται παίζων, μεταδιωκτά τε καὶ ἐκ παντὸς αἱρετὰ ταῦτα τὰ μαθήματα, εἴτε χαλεπὰ εἴτε ῥᾴδια εἴη, παρεγγυᾷ τοῖς φιλοσοφεῖν προθυμουμένοις· καὶ μάλα εὐλόγως, εἴπερ συνεχοῦς καὶ διῃρημένου καταλήψεις διὰ τούτων μόνων γίνονται, ἐκ δὲ συνεχοῦς καὶ διῃρημένου ὅ τε κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα. |
| Iamblichus *De vita Pythagorica* 16,70,1–18<br>πάντων τούτων [ἓν] ἑνὸς καὶ τοῦ αὐτοῦ κατὰ σύλληψιν καὶ συγκεφαλαίωσιν ὀνόματος <ὄντος>, τοῦ τῆς φιλίας, εὑρετὴς καὶ νομοθέτης ὁμολογουμένως Πυθαγόρας, καὶ διόλου τῆς ἐπιτηδειοτάτης πρὸς θεοὺς ὁμιλίας ὕπαρ τε καὶ κατὰ τοὺς ὕπνους αἰτιώτατος τοῖς περὶ αὐτόν, ὅπερ οὔτε ὑπὸ ὀργῆς τεθολωμένῃ περιγίνεταί ποτε ψυχῇ, οὔτε ὑπὸ λύπης οὔτε ὑπὸ ἡδονῆς οὔτε τινὸς ἄλλης αἰσχρᾶς ἐπιθυμίας παρηλλαγμένῃ, μὰ Δία, οὐδὲ τῆς τούτων ἁπασῶν ἀνοσιωτάτης τε καὶ χαλεπωτάτης ἀμαθίας. ἀπὸ δὴ τούτων ἁπάντων δαιμονίως ἰᾶτο καὶ ἀπεκάθαιρε τὴν ψυχὴν καὶ ἀνεζωπύρει τὸ θεῖον ἐν αὐτῇ καὶ ἀπέσῳζε καὶ περιῆγεν ἐπὶ τὸ νοητὸν τὸ θεῖον ὄμμα, κρεῖττον ὂν σωθῆναι κατὰ τὸν Πλάτωνα μυρίων σαρκίνων ὀμμάτων. μόνῳ γὰρ αὐτῷ διαβλέψαντι καὶ οἷς προσῆκε βοηθήμασι τονωθέντι καὶ διαρθρωθέντι ἡ περὶ τῶν ὄντων ἁπάντων ἀλήθεια διορᾶται. πρὸς δὴ τοῦτο ἀναφέρων ἐποιεῖτο τὴν τῆς διανοίας κάθαρσιν, καὶ ἦν αὐτῷ τῆς παιδεύσεως ὁ τύπος τοιοῦτος καὶ πρὸς ταῦτα ἀποβλέπων. |
| Iamblichus *De vita Pythagorica* 27,131,1–6<br>λογιζομένων δ' ἡμῶν τάς τε τῶν γραμμῶν πρὸς ἀλλήλας συμπτώσεις καὶ τὰς τῶν χωρίων τῶν ἀπὸ τούτων, βελτίστην ὑποτυποῦσθαι πολιτείας εἰκόνα. σφετερίσασθαι δὲ τὴν δόξαν Πλάτωνα, λέγοντα φανερῶς ἐν τῇ Πολιτείᾳ τὸν ἐπίτριτον ἐκεῖνον πυθμένα τὸν τῇ πεμπάδι συζευγνύμενον καὶ τὰς δύο παρεχόμενον ἁρμονίας. |
| Iamblichus *De vita Pythagorica* 30,167,6–10<br>ἀρχὴ τοίνυν ἐστὶ δικαιοσύνης μὲν τὸ κοινὸν καὶ ἴσον καὶ τὸ ἐγγυτάτω ἑνὸς σώματος καὶ μιᾶς ψυχῆς ὁμοπαθεῖν πάντας, καὶ ἐπὶ τὸ αὐτὸ τὸ ἐμὸν φθέγγεσθαι καὶ τὸ ἀλλότριον, ὥσπερ δὴ καὶ Πλάτων μαθὼν παρὰ τῶν Πυθαγορείων συμμαρτυρεῖ. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **121** | Plato *Phaedrus* 230a1–6<br>ὅθεν δὴ χαίρειν ἐάσας ταῦτα, πειθόμενος δὲ τῷ νομιζομένῳ περὶ αὐτῶν, ὃ νυνδὴ ἔλεγον, σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον ὂν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον. |
| **122** | Plato *Politicus* 276e10–13<br>Καὶ τὴν μέν γέ που τῶν βιαίων τυραννικήν, τὴν δὲ ἑκούσιον καὶ ἑκουσίων διπόδων ἀγελαιοκομικὴν ζῴων προσειπόντες πολιτικήν, τὸν ἔχοντα αὖ τέχνην ταύτην καὶ ἐπιμέλειαν ὄντως ὄντα βασιλέα καὶ πολιτικὸν ἀποφαινώμεθα; |
| **123** | Plato *Respublica* 578c9–d6<br>Σκόπει δὴ εἰ ἄρα τι λέγω. δοκεῖ γάρ μοι δεῖν ἐννοῆσαι ἐκ τῶνδε περὶ αὐτοῦ σκοποῦντας. Ἐκ τίνων; Ἐξ ἑνὸς ἑκάστου τῶν ἰδιωτῶν, ὅσοι πλούσιοι ἐν πόλεσιν ἀνδράποδα πολλὰ κέκτηνται. οὗτοι γὰρ τοῦτό γε προσόμοιον ἔχουσιν τοῖς τυράννοις, τὸ πολλῶν ἄρχειν· διαφέρει δὲ τὸ ἐκείνου πλῆθος. |
| **124** | Plato *Phaedo* 77e4–5<br>μᾶλλον δὲ μὴ ὡς ἡμῶν δεδιότων, ἀλλ' ἴσως ἔνι τις καὶ ἐν ἡμῖν παῖς ὅστις τὰ τοιαῦτα φοβεῖται. |
| **125** | Plato *Phaedo* 99d4–e4<br>Ἔδοξε τοίνυν μοι, ἦ δ' ὅς, μετὰ ταῦτα, ἐπειδὴ ἀπειρήκη τὰ ὄντα σκοπῶν, δεῖν εὐλαβηθῆναι μὴ πάθοιμι ὅπερ οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι πάσχουσιν· διαφθείρονται γάρ που ἔνιοι τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἤ τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ. τοιοῦτόν τι καὶ ἐγὼ διενοήθην, καὶ ἔδεισα μὴ παντάπασι τὴν ψυχὴν τυφλωθείην βλέπων πρὸς τὰ πράγματα τοῖς ὄμμασι καὶ ἑκάστῃ τῶν αἰσθήσεων ἐπιχειρῶν ἅπτεσθαι αὐτῶν. |
| **126** | Plato *Respublica* 495e4–8<br>Δοκεῖς οὖν τι, ἦν δ' ἐγώ, διαφέρειν αὐτοὺς ἰδεῖν ἀργύριον κτησαμένου χαλκέως φαλακροῦ καὶ σμικροῦ, νεωστὶ μὲν ἐκ δεσμῶν λελυμένου, ἐν βαλανείῳ δὲ λελουμένου, νεουργὸν ἱμάτιον ἔχοντος, ὡς νυμφίου παρεσκευασμένου, διὰ πενίαν καὶ ἐρημίαν τοῦ δεσπότου τὴν θυγατέρα μέλλοντος γαμεῖν; |
| **127** | Plato *Respublica* 520d1–4<br>τὸ δέ που ἀληθὲς ὧδ' ἔχει· ἐν πόλει ᾗ ἥκιστα πρόθυμοι ἄρχειν οἱ μέλλοντες ἄρξειν, ταύτην ἄριστα καὶ ἀστασιαστότατα ἀνάγκη οἰκεῖσθαι, τὴν δ' ἐναντίους ἄρχοντας σχοῦσαν ἐναντίως. |
| **128** | Plato *Respublica* 379c2–de2<br>Οὐδ' ἄρα, ἦν δ' ἐγώ, ὁ θεός, ἐπειδὴ ἀγαθός, πάντων ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν, ἀλλὰ ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δὲ ἀναίτιος· πολὺ γὰρ ἐλάττω τἀγαθὰ τῶν κακῶν ἡμῖν, καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον, τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτια, ἀλλ' οὐ τὸν θεόν. Ἀληθέστατα, ἔφη, δοκεῖς μοι λέγειν. Οὐκ ἄρα, ἦν δ' ἐγώ, ἀποδεκτέον οὔτε Ὁμήρου οὔτ' ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτως ἁμαρτάνοντος καὶ λέγοντος ὡς δοιοί τε "πίθοι κατακείαται ἐν Διὸς οὔδει κηρῶν ἔμπλειοι, ὁ μὲν ἐσθλῶν, αὐτὰρ ὃ δειλῶν·" καὶ ᾧ μὲν ἂν μείξας ὁ Ζεὺς δῷ ἀμφοτέρων, "ἄλλοτε μέν τε κακῷ ὅ γε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·" ᾧ δ' ἂν μή, ἀλλ' ἄκρατα τὰ ἕτερα, τὸν δὲ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει· "οὐδ' ὡς ταμίας ἡμῖν Ζεὺς – ἀγαθῶν τε κακῶν τε τέτυκται." |
| **129** | Plato *Timaeus* 68e6–69a5<br>διὸ δὴ χρὴ δύ' αἰτίας εἴδη διορίζεσθαι, τὸ μὲν ἀναγκαῖον, τὸ δὲ θεῖον, καὶ τὸ μὲν θεῖον ἐν ἅπασιν ζητεῖν κτήσεως ἕνεκα εὐδαίμονος βίου, καθ' ὅσον ἡμῶν ἡ φύσις ἐνδέχεται, τὸ δὲ ἀναγκαῖον ἐκείνων χάριν, λογιζόμενον ὡς ἄνευ τούτων οὐ δυνατὰ αὐτὰ ἐκεῖνα ἐφ' οἷς σπουδάζομεν μόνα κατανοεῖν οὐδ' αὖ λαβεῖν οὐδ' ἄλλως πως μετασχεῖν. |

| **Textpassage der Paraphrase** |
|---|
| Themistius Περὶ φιλανθρωπίας ἢ Κωνστάντιος 3b2–10<br>οὔ τί που δύσβατόν γέ τινα καὶ ἐπίσκιον, εἰς οἵας οἱ πολλοὶ τῶν τυράννων ὥσπερ φωλεοὺς καταδύονται, ἀλλ’ εὐρεῖάν τε καὶ τὰ ἴχνη τηλαυγῆ διατηροῦσαν, οὐδὲ ἐπ’ ἄγριόν τι καὶ χαλεπὸν ζῷον ἐξάγουσαν, ἄρκτον ἢ κάπρον ἢ λέοντα, βασιλέως ὄνομα ἠμφιεσμένον, ἀλλ’ ἐπὶ τὸ πάντων εὐκολώτατόν τε καὶ ἡμερώτατον θείας τε ὄντως δή τινος καὶ ἀτύφου μοίρας φύσει μετέχον ζῷον οὐράνιον, ἐκεῖθεν δοθὲν τοῖς τῇδε εἰς ἐπιμέλειαν. |
| Themistius Περὶ φιλανθρωπίας ἢ Κωνστάντιος 10c–d<br>ὅστις τοίνυν ἑαυτῷ τῆς βασιλείας τοὔνομα ἐμφαίνει σαφῶς, τοσούτους ὁρᾷ φίλους ὁπόσους ἀνθρώπους, ὃν οὐ δεδοίκασιν ἀλλ’ ὑπὲρ οὗ δεδίασιν οἱ ἀρχόμενοι, καὶ μόνος τὸ χρῆμα οὐ ψεύδεται τῆς βασιλείας· βουλομένων γάρ, οὐ φοβουμένων ἡγεῖται, βασιλεία δὲ ἑκούσιόν τι καὶ οὐ βίαιον. |
| Themistius Περὶ φιλανθρωπίας ἢ Κωνστάντιος 11a5–b1<br>οὔτε οὖν ὑψηλὸς ἐκεῖνος ὅς, ἂν μὴ καταβάλοι τοὺς πλησίον, οὐχ ὑπερφαίνεται, οὔτε βασιλεὺς ἀληθῶς ᾧ μηδεὶς ἐλεύθερος ὑπακούει. τί γὰρ ἂν ὁ τοιοῦτος διενέγκαι πλουσίου φαύλου πολλὰ ἀνδράποδα κεκτημένου, σεμνυνομένου τε καὶ αὐχοῦντος ὅτι πάντων ἄμεινον πράττει τῶν οἰκετῶν; |
| Themistius Περὶ φιλανθρωπίας ἢ Κωνστάντιος 13d–14a2<br>ἔστι γάρ τις ἐν ἡμῖν οὐ παῖς, ὥς φησιν ὁ Πλάτων, ἀλλ’ οἷόν τις εὐγενὴς νεανίας, φιλόνεικός γε ὑπεροχῆς ἐραστής, ὃν ἐν πολλοῖς πολλάκις ἀποκαθεύδοντα ἐξεγείρει τε καὶ ἀνίστησι τιμῆς προσδοκία καὶ ἐντίθησι κέντρον πρὸς ἀρετὴν παντὸς ὀξύτερον μύωπος. |
| Themistius Εἰς τὸν αὐτοκράτορα Κωνστάντιον 51b2–10<br>Ὅστις οὖν οἴεται τῆς μὲν ὠφελείας ἁπανταχοῦ ἀπολαύειν, τὰ χαριστήρια δὲ μὴ πανταχοῦ ἐκτιννύναι, γέλως ἂν εἴη καὶ δυσσεβείας οὐ πόρρω, καὶ οὐκ ἂν λογίζοιτο ὅτι καὶ οἱ σφόδρα ἐπιθυμοῦντες τοῖς ὄμμασιν ἀτενίσαι πρὸς τὸν θεὸν πρῶτον μὲν ἐν τοῖς ὕδασι μελετῶσι καὶ διαπειρῶνται τῶν ὀφθαλμῶν πρὸς τὸ φάσμα αὐτοῦ καρτερεῖν τε καὶ ἀπερείδεσθαι, ὡς ἂν μὴ ἀθρόας τῆς ἀληθινῆς μαρμαρυγῆς ἐμπλησθέντες σκότου μᾶλλον ἢ αὐγῆς ἀπολαύσειαν. |
| Themistius Ὑπατικὸς εἰς τὸν αὐτοκράτορα Ἰοβιανόν 64c4–8<br>ταύτας εἰσφέρουσι τὰς εἰσφορὰς φιλόσοφοι βασιλεῦσιν οἱ μὴ ψευδώνυμοι, τοὺς φαλακροὺς δὲ καὶ τοὺς χαλκέας τοὺς ἐπιθεμένους τῇ δεσποίνῃ ὀρφανευθείσῃ οὐκ ἐποίει Πλάτων δημιουργοὺς ἀνθρωπίνης μακαριότητος. |
| Themistius Ὑπατικὸς εἰς τὸν αὐτοκράτορα Ἰοβιανόν 66d3–7<br>αἴτιον δέ, ὅτι μήτε δύσνουν τινὰ ὑπειλήφεις μήτε ἐδεδίεις ὡς ἀξιώτερον, καὶ δυεῖν ἀποφάσεων Πλάτωνος σὺ τὴν ἑτέραν ἐβεβαιώσω, τότε ἀστασιάστους ἔσεσθαι τὰς ἀρχάς, ὅταν ἄρχωσιν οἱ πρέποντες μὲν τῷ ἄρχειν, ἥκιστα δὲ προθυμούμενοι. |
| Themistius Φιλάδελφοι ἢ περὶ φιλανθρωπίας 79c1–10<br>Ἀλλ’ Ὅμηρος, ὡς ἔοικε, τοῦτο οὐκ ὀρθῶς ὑπελάμβανε, δύο κατακεῖσθαι πίθους ἐν τῷ Διὸς οἴκῳ κηρῶν ἐμπλέους, τὸν μὲν ἐσθλῶν, τὸν δὲ ἕτερον τῶν ἐναντίων. κακῶν γὰρ οὐκ ἔστιν ἐν τῷ οὐρανῷ ταμιεῖον, ἀλλ’ ὁ πίθος οὗτος πεφύραται ἐνθένδε ἀπὸ τοῦ πηλοῦ τοῦ παρ’ ἡμῖν καὶ τῆς γῆς, καὶ ἡμεῖς αὐτὸν ἐμπίπλαμεν καὶ ἐκκενοῦμεν. οὐδ’ ἐῶμεν ἀκράτους ἐπιρρεῖν πηγὰς τῶν ἄνωθεν ἀγαθῶν, ἃ χορηγεῖ συνεχῶς ἀκάμαντι νόῳ, καθάπερ λέγει ἡ φιλοσοφοῦσα ποίησις, ὁ τῶν ἐάων δοτήρ, ὁ τῆς εὐνομίας ταμίας, οὗ πάρεδρος Δίκη τε καὶ Εὐνομία· |
| Themistius Περὶ τῶν ἠτυχηκότων ἐπὶ Οὐάλεντος 85a1–3<br>ἢ γὰρ πρόνοια τοῦ κρείττονος, ἢ ἀνάγκη, ἢ τὸ αὐτόματον τὰς ἔξωθεν ἡμῖν αἰτίας ἐπιτροπεύουσιν. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **130** | Plato *Respublica* 441e4–6<br>Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσήκει, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ συμμάχῳ τούτου; |
| **131** | Plato *Leges* 641c2–7<br>παιδεία μὲν οὖν φέρει καὶ νίκην, νίκη δ’ ἐνίοτε ἀπαιδευσίαν· πολλοὶ γὰρ ὑβριστότεροι διὰ πολέμων νίκας γενόμενοι μυρίων ἄλλων κακῶν δι’ ὕβριν ἐνεπλήσθησαν, καὶ παιδεία μὲν οὐδεπώποτε γέγονεν Καδμεία, νῖκαι δὲ ἀνθρώποις πολλαὶ δὴ τοιαῦται γεγόνασίν τε καὶ ἔσονται. |
| **132** | Plato *Respublica* 565e3–566a4<br>Ἆρ’ οὖν οὕτω καὶ ὃς ἂν δήμου προεστώς, λαβὼν σφόδρα πειθόμενον ὄχλον, μὴ ἀπόσχηται ἐμφυλίου αἵματος, ἀλλ’ ἀδίκως ἐπαιτιώμενος, οἷα δὴ φιλοῦσιν, εἰς δικαστήρια ἄγων μιαιφονῇ, βίον ἀνδρὸς ἀφανίζων, γλώττῃ τε καὶ στόματι ἀνοσίῳ γευόμενος φόνου συγγενοῦς, καὶ ἀνδρηλατῇ καὶ ἀποκτεινύῃ καὶ ὑποσημαίνῃ χρεῶν τε ἀποκοπὰς καὶ γῆς ἀναδασμόν, ἆρα τῷ τοιούτῳ ἀνάγκη δὴ τὸ μετὰ τοῦτο καὶ εἵμαρται ἢ ἀπολωλέναι ὑπὸ τῶν ἐχθρῶν ἢ τυραννεῖν καὶ λύκῳ ἐξ ἀνθρώπου γενέσθαι; |
| **133** | Plato *Respublica* 496c5–e2<br>καὶ τούτων δὴ τῶν ὀλίγων οἱ γενόμενοι καὶ γευσάμενοι ὡς ἡδὺ καὶ μακάριον τὸ κτῆμα, καὶ τῶν πολλῶν αὖ ἱκανῶς ἰδόντες τὴν μανίαν, καὶ ὅτι οὐδεὶς οὐδὲν ὑγιὲς ὡς ἔπος εἰπεῖν περὶ τὰ τῶν πόλεων πράττει οὐδ’ ἔστισύμμαχος μεθ’ ὅτου τις ἰὼν ἐπὶ τὴν τῷ δικαίῳ βοήθειαν σῴζοιτ’ ἄν, ἀλλ’ ὥσπερ εἰς θηρία ἄνθρωπος ἐμπεσών, οὔτε συναδικεῖν ἐθέλων οὔτε ἱκανὸς ὢν εἷς πᾶσιν ἀγρίοις ἀντέχειν, πρίν τι τὴν πόλιν ἢ φίλους ὀνῆσαι προαπολόμενος ἀνωφελὴς αὑτῷ τε καὶ τοῖς ἄλλοις ἂν γένοιτο—ταῦτα πάντα λογισμῷ λαβών, ἡσυχίαν ἔχων καὶ τὰ αὑτοῦ πράττων, οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς, ὁρῶν τοὺς ἄλλους καταπιμπλαμένους ἀνομίας, ἀγαπᾷ εἴ πῃ αὐτὸς καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων τόν τε ἐνθάδε βίον βιώσεται καὶ τὴν ἀπαλλαγὴν αὐτοῦ μετὰ καλῆς ἐλπίδος ἵλεώς τε καὶ εὐμενὴς ἀπαλλάξεται. |
| **134** | Plato *Leges* 709e6–8<br>“Τυραννουμένην μοι δότε τὴν πόλιν,” φήσει· “τύραννος δ’ ἔστω νέος καὶ μνήμων καὶ εὐμαθὴς καὶ ἀνδρεῖος καὶ μεγαλοπρεπὴς φύσει· [...].” |
| **135** | Plato *Respublica* 473c11–e2<br>Ἐὰν μή, ἦν δ’ ἐγώ, ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν ἢ οἱ βασιλῆς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταὐτὸν συμπέσῃ, δύναμίς τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ’ ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσι, δοκῶ δ’ οὐδὲ τῷ ἀνθρωπίνῳ γένει, οὐδὲ αὕτη ἡ πολιτεία μή ποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλίου ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν. |
| **136** | Plato *Leges* 628d2–e1<br>ὅμοιον ὡς εἰ κάμνον σῶμα ἰατρικῆς καθάρσεως τυχὸν ἡγοῖτό τις ἄριστα πράττειν τότε, τῷ δὲ μηδὲ τὸ παράπαν δεηθέντι σώματι μηδὲ προσέχοι τὸν νοῦν. ὡσαύτως δὲ καὶ πρὸς πόλεως εὐδαιμονίαν ἢ καὶ ἰδιώτου διανοούμενος οὕτω τις οὔτ’ ἄν ποτε πολιτικὸς γένοιτο ὀρθῶς, πρὸς τὰ ἔξωθεν πολεμικὰ ἀποβλέπων μόνον καὶ πρῶτον, οὔτ’ ἂν νομοθέτης ἀκριβής, εἰ μὴ χάριν εἰρήνης τὰ πολέμου νομοθετοῖ μᾶλλον ἢ τῶν πολεμικῶν ἕνεκα τὰ τῆς εἰρήνης. |

| Textpassage der Paraphrase |
|---|
| Themistius Περὶ τῶν ἠτυχηκότων ἐπὶ Οὐάλεντος 87d6–88a5<br>καὶ οὐ Πλάτων πρῶτος, ὡς ἔοικε, λόγῳ μὲν ἀπεικάζει τοὺς βασιλέας, θυμῷ δὲ τοὺς στρατιώτας, ἀλλὰ προλαβοῦσα ἡ Ῥωμαίων φωνὴ καὶ ὁ θεσμὸς τῆς πολιτείας τὴν ἑκατέρῳ πρέπουσαν ἀρετὴν ταῖς ἐπικλήσεσιν ἐνεδείξατο ὑμᾶς μὲν εὐσεβεῖς καὶ φιλανθρώπους προσαγορεύων, τοῖς στρατιώταις δὲ ἐξ ἀνδρείας μόνης τὰς ἐπωνυμίας νομοθετήσας. |
| Themistius Περὶ τῶν ἠτυχηκότων ἐπὶ Οὐάλεντος 88b7–11<br>ἢ πόθεν εἰσεφοίτησεν ἡ παροιμία, καὶ τί ποτέ ἐστιν ἕτερον ἡ Καδμεία νίκη ἢ ὅταν τινὲς ὑπὸ τῆς νίκης ὥσπερ μέθης κατακλυσθέντες ἀγνοήσωσι τὸ μέτρον τῆς τοῦ κρατεῖν ἀπολαύσεως καὶ τελευτήσῃ τὸ κέρδος αὐτοῖς εἰς ζημίαν χαλεπωτέραν; |
| Themistius Περὶ τῶν ἠτυχηκότων ἐπὶ Οὐάλεντος 91c1–9<br>κἄπειτα ἐπόμπευεν ἐκ βαλανείου ἐν ἀσπίδι καὶ δορατίῳ περιδέραια περικείμενος, παράσημος αὐτοκράτωρ, προσσεσηρώς, ἅπαντας προσκαλούμενος, μειδιῶν μειδίαμα δολερόν, μειδίαμα θρήνων μεστόν, μειδίαμα ἄρξαν πολλῶν δακρύων, ἄντικρυς τὰ Πλάτωνος τοῦ θεσπεσίου καὶ ἅ φησιν ἐκεῖνος προδεικνύναι τοὺς τυράννους ἐν τοῖς προοιμίοις, χρεῶν ἀποκοπάς, γῆς ἀναδασμούς, τὴν ἐπὶ Κρόνου καὶ Ῥέας εὐδαιμονίαν, πικρὰ δελεάσματα τοῖς ὑπὸ τούτων ἁλισκομένοις. |
| Themistius Πενταετηρικός 104b6–c7<br>ὅταν μὲν οὖν ὁ καιρὸς παραγγέλλῃ μηδ' ὁτιοῦν ὄφελος εἶναι προσιόντι τοῖς ἀνθρώποις τῆς κατεχούσης πολιτείας καὶ τῶν ταύτης προεστηκότων, ἀποκλειόντων τὴν ὁδὸν τοῖς φιλοσοφοῦσιν, ὥσπερ τῶν ἀρρωστούντων τοῖς ἰατροῖς, τηνικαῦτα δὴ προσήκειν τῶν κοινῶν ἀναγκαίως ἀφισταμένους ἀγαπᾶν εἰ τὸ καθ' ἑαυτοὺς εὖ διαθήσονται, ὥσπερ ἐν ζάλῃ κονιορτοῦ, φησὶν ὁ Πλάτων, ὑπὸ πνεύματος φερομένου, ὁρῶντες τοὺς ἄλλους καταπιμπλαμένους ἀδικίας τε καὶ ἀνόμων ἔργων, αὐτοὶ στάντες ὑπὸ τειχίον, τό γε μὴ τὰ αὐτὰ παθεῖν τοῖς πολλοῖς κέρδος ἡγήσονται. |
| Themistius Πενταετηρικός 104c7–d9<br>ὅταν δὲ εἰσκαλῇ μὲν ὁ τῆς πολιτείας προεστηκώς, ἐνδιδῷ δὲ ἐλπίδας χρηστὰς ἁπτομένοις τῆς ἰατρείας καὶ τὰ παραγγέλματα καταδέχηται γεννικῶς, καὶ ἀπαιτῇ τὴν παρρησίαν ὥσπερ ὄφλημα ἀναγκαῖον παρὰ τῆς τέχνης, καὶ μηδὲν αὐτῆς νουθέτημα ἄχρι τῶν ὤτων προσίηται, ἀλλ' ἐγχαράττῃ τὰς συμβουλίας τῇ ψυχῇ καὶ περιφέρῃ τὸν ἐφεξῆς χρόνον, καθάπερ ἐν στήλῃ ἀδάμαντος ἐγγεγραμμένας, ὁ τούτῳ μὴ προσιὼν συνεχῶς μηδὲ χειροήθη κατασκευάζων, μήτ' ἐπιδεικνύμενος τὴν τέχνην ἣν ὑπισχνεῖται, ἀνηκουστεῖ μὲν φιλοσοφίας, ἀνηκουστεῖ δὲ Πλάτωνος τοῦ σοφοῦ, βασιλέα νέον ἐπιζητοῦντος εὖ πεφυκότα, ὡς τηνικαῦτα μάλιστα τὴν χρείαν ἐπιδεῖξαι τὴν ἑαυτῆς δυνησομένης φιλοσοφίας. |
| Themistius Πενταετηρικός 107c3–7<br>Πλάτων μὲν οὖν, εἰ καὶ τὰ ἄλλα πάντα θεῖος καὶ αἰδοῖος, ἀλλὰ τοῦτόν γε ἀτεχνῶς ἀποκεκινδυνευμένως προήκατο λόγον, ὅτι μὴ πρότερον τὰ κακὰ λήξει τοῖς ἀνθρώποις, πρὶν ἂν ἢ φιλόσοφοι βασιλεύσωσιν ἢ βασιλεῖς φιλοσοφήσωσιν. |
| Themistius Ἐπὶ τῆς εἰρήνης Οὐάλεντι 130d8–131a1<br>οὐ γὰρ οὕτως ἀνήκοός εἰμι Πλάτωνος τοῦ θεσπεσίου ὥστε τὰ αὐτοῦ μὴ μανθάνειν, ὅτι κολοβὸς καὶ βασιλεὺς καὶ νομοθέτης, ὃς πολεμεῖν μὲν ἱκανός, εἰρήνην δ' ἄγειν οὐχ οἷός τε. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **137** | Plato *Leges* 626e2–5<br>Κἀνταῦθα, ὦ ξένε, τὸ νικᾶν αὐτὸν αὐτὸν πασῶν νικῶν πρώτη τε καὶ ἀρίστη, τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστόν τε ἅμα καὶ κάκιστον. ταῦτα γὰρ ὡς πολέμου ἐν ἑκάστοις ἡμῶν ὄντος πρὸς ἡμᾶς αὐτοὺς σημαίνει. |
| **138** | Plato *Respublica* 441e4–6<br>Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν προσήκει, σοφῷ ὄντι καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, τῷ δὲ θυμοειδεῖ ὑπηκόῳ εἶναι καὶ συμμάχῳ τούτου; |
| **139** | Plato *Symposium* 203c5–d3<br>ἅτε οὖν Πόρου καὶ Πενίας ὑὸς ὢν ὁ Ἔρως ἐν τοιαύτῃ τύχῃ καθέστηκεν. πρῶτον μὲν πένης ἀεί ἐστι, καὶ πολλοῦ δεῖ ἁπαλός τε καὶ καλός, οἷον οἱ πολλοὶ οἴονται, ἀλλὰ σκληρὸς καὶ αὐχμηρὸς καὶ ἀνυπόδητος καὶ ἄοικος, χαμαιπετὴς ἀεὶ ὢν καὶ ἄστρωτος, ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος, τὴν τῆς μητρὸς φύσιν ἔχων, ἀεὶ ἐνδείᾳ σύνοικος. |
| **140** | Plato *Phaedrus* 252d5–e5<br>τόν τε οὖν Ἔρωτα τῶν καλῶν πρὸς τρόπου ἐκλέγεται ἕκαστος, καὶ ὡς θεὸν αὐτὸν ἐκεῖνον ὄντα ἑαυτῷ οἷον ἄγαλμα τεκταίνεταί τε καὶ κατακοσμεῖ, ὡς τιμήσων τε καὶ ὀργιάσων. οἱ μὲν δὴ οὖν Διὸς δῖόν τινα εἶναι ζητοῦσι τὴν ψυχὴν τὸν ὑφ' αὑτῶν ἐρώμενον· σκοποῦσιν οὖν εἰ φιλόσοφός τε καὶ ἡγεμονικὸς τὴν φύσιν, καὶ ὅταν αὐτὸν εὑρόντες ἐρασθῶσι, πᾶν ποιοῦσιν ὅπως τοιοῦτος ἔσται. |
| **141** | Plato *Symposium* 210a4–b3<br>δεῖ γάρ, ἔφη, τὸν ὀρθῶς ἰόντα ἐπὶ τοῦτο τὸ πρᾶγμα ἄρχεσθαι μὲν νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα, καὶ πρῶτον μέν, ἐὰν ὀρθῶς ἡγῆται ὁ ἡγούμενος, ἑνὸς αὐτὸν σώματος ἐρᾶν καὶ ἐνταῦθα γεννᾶν λόγους καλούς, ἔπειτα δὲ αὐτὸν κατανοῆσαι ὅτι τὸ κάλλος τὸ ἐπὶ ὁτῳοῦν σώματι τῷ ἐπὶ ἑτέρῳ σώματι ἀδελφόν ἐστι, καὶ εἰ δεῖ διώκειν τὸ ἐπ' εἴδει καλόν, πολλὴ ἄνοια μὴ οὐχ ἕν τε καὶ ταὐτὸν ἡγεῖσθαι τὸ ἐπὶ πᾶσιν τοῖς σώμασι κάλλος· |
| **142** | Plato *Symposium* 211b7–d1<br>τοῦτο γὰρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι, ὥσπερ ἐπαναβασμοῖς χρώμενον, ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυοῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα, καὶ ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τὸ μάθημα τελευτῆσαι, ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτὸ τελευτῶν ὃ ἔστι καλόν. |
| **143** | Plato *Symposium* 210c6–e1<br>μετὰ δὲ τὰ ἐπιτηδεύματα ἐπὶ τὰς ἐπιστήμας ἀγαγεῖν, ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος, καὶ βλέπων πρὸς πολὺ ἤδη τὸ καλὸν μηκέτι τὸ παρ' ἑνί, ὥσπερ οἰκέτης, ἀγαπῶν παιδαρίου κάλλος ἢ ἀνθρώπου τινὸς ἢ ἐπιτηδεύματος ἑνός, δουλεύων φαῦλος ᾖ καὶ σμικρολόγος, ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμμένος τοῦ καλοῦ καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγαλοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ, ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε. |
| **144** | Plato *Theaetetus* 176a5–b3<br>Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατόν, ὦ Θεόδωρε – ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ ἀεὶ εἶναι ἀνάγκη – οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρῦσθαι, τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. |

| **Textpassage der Paraphrase** |
| --- |
| Themistius Ἐπὶ τῆς εἰρήνης Οὐάλεντι 131b4–7<br>Καὶ τοῦτο οὖν ἐγὼ Πλάτωνος θαυμάζω καὶ ἔτι μᾶλλον, ὅταν διδάσκῃ ὅτι πολέμου καὶ εἰρήνης σπέρματα ἐν ἑκάστῃ ψυχῇ πρῶτόν ἐστι, καὶ ὅστις οἷός τε πρὸς ἑαυτὸν ἄγειν εἰρήνην, οὗτος οἷός τε καὶ πρὸς τοὺς ἔξωθεν πολεμίους· |
| Themistius Δεκετηρικὸς ἢ περὶ τῶν πρεπόντων λόγων τῷ βασιλεῖ 148d6–149a4<br>ὥστε τὸ μὲν καταπλήξας καὶ νουθετήσας ἔχει ἀκολουθοῦν ἑαυτῷ, ὥσπερ τὸν θυμόν φησιν ὁ Πλάτων λόγῳ νουθετήσαντι ἕπεσθαι σύμμαχον, τὸ δὲ ἀνάγκη ἐκτεμεῖν ἢ ἐπικόψαι, εἰ μέλλοι μὴ διενοχλήσειν. |
| Themistius Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 163c1–d2<br>Νῦν δέ, ὦ μεγάλε, ἀθρόον μοι ἀπήντηκεν ἅπαντα ἃ σὺ καταλέγεις, καὶ πλείονα ὧν καταλέγεις, δρόμος ἰσόδρομος σχεδὸν τῷ ἡλίῳ ἀπὸ Τίγρητος εἰς Ὠκεανόν, πόρος σύντονος, πτῆσις χαμαιπετής, καὶ οἷόν ποτε θεῖν τὸν Ἔρωτα φῄς, ἡμέραι ἐπὶ ταῖς νυξὶν ἀκοίμητοι. χαμευνίας καὶ θυραυλίας διήγαγον ἐν ταῖς ὁδοῖς καὶ ἐν τοῖς ὑπαίθροις ἄστρωτος, καὶ ἀνυπόδετος, οὔτε ζῆν ἔχων ποτὲ ἀπεπλήσθην οὔτε ἀπεῖπον, ὡς ἀπορῶν κατερρύην, καὶ ἀνεβίων πολλάκις τῇ ἐνδείᾳ καὶ τῇ ἐλπίδι. |
| Themistius Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 165a5–b6<br>Οὐκ ἔχων δὲ οὔτε ἀποθέσθαι τὴν ὠδῖνα οὔτε ἀποπλῆσαι, κάλλους δὲ οὐχ οἷόν τε ἐκλαθέσθαι ἀρτίου καὶ ὁλοκλήρου τοὺς φιλοκάλους καὶ εὐφυεῖς, ὀψὲ ἀνεγρόμενος μόλις ὥσπερ ἐξ ὕπνου βαθέος, θεοῦ τινος, ὡς ἔοικε, ποδηγοῦντος, ἐνεθυμήθην τὰ ἐν τῷ Πλάτωνος Φαίδωνι. καὶ γὰρ ἐν ἐκείνοις τοῖς λόγοις ὁ αὐτὸς διδάσκαλος τῶν ἐρωτικῶν οὐ φησὶν ὁμοίως τὸ αὐτὸ καὶ ἓν κάλλος διωκτὸν εἶναι, ἀλλὰ τοῖς μὲν Ἄρεος θεραπευταῖς Ἀρεϊκόν τε καὶ φιλοπόλεμον, τοῖς δὲ Ἀπόλλωνος θιασώταις εὔμουσον καὶ τῷ θεῷ τούτῳ οἰκεῖον, μόνοις δὲ τοῖς φιλολόγοις τὸ Διός τε καὶ βασιλικόν· Διὸς γὰρ εἶναι τοὺς φιλολόγους συμπεριπόλους. |
| Themistius Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 168c6–13<br>ἀλλ' ἐπιτίθησιν εὐθὺς ὁ τῆς ἕω προστάτης ἰδίαν ἀνάγκην μὴ ἀμβλυώττειν πρὸς τὴν ἑσπέραν, πρὸς δὲ καὶ οἱ Σωκράτους ἀναβασμοὶ οὐκ εἴων ἀτρέμα ἔχειν. ἀλλὰ τί γάρ φησιν ὁ τῆς πορείας τῆς ἐρωτικῆς ἐπιστήμων; †ἄρχεσθαι μὲν ἀφ' ἑνὸς καλοῦ τῆς μελέτης† καὶ τούτῳ ἐγγεννᾶν, καὶ ἐντίκτειν λόγους καλούς· ἔπειτα καὶ αὐτὸν κατανοῆσαι ὅτι τὸ κάλλος τὸ ἐφ' ὁτῳοῦν τῷ ἐφ' ἑτέρῳ ἀδελφόν ἐστι καὶ συγγενές. |
| Themistius Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 177b6–c3<br>Μετὰ γὰρ τοὺς καλοὺς νέους ἀναβατέον σοι, φησίν, ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα καὶ τοὺς καλοὺς νόμους. ὦ λῷστε παῖ Σωφρονίσκου καὶ Φαιναρέτης, σοὶ μὲν τοῦτο ἀναγκαῖον ἦν ποιητέον, Ἀλκιβιάδου γὰρ ἤρας καὶ Χαρμίδου, πενιχρὸν ἔρωτα καὶ ἰδιώτην, ὁ δὲ ἐμὸς ἔρως δυοῖν βασιλέοιν ἐστίν, ἰθυδίκοιν τε καὶ ξυγγενοῖν, καὶ οὐ δεῖ με αὐτοὺς ὑπερβάντα ἄλλοθεν ζητεῖν τὰ καλὰ ἐπιτηδεύματα καὶ τοὺς καλοὺς νόμους· |
| Themistius Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 177c7–d4<br>μετὰ γὰρ τοὺς νόμους πέλαγος φῂς ἀναφαίνεσθαι τοῦ κάλλους. τοῦτο γοῦν τὸ πέλαγος σὺ μὲν ἄλλοθέν που καθήμενον λέγεις ἐν χώρῳ ἀπῳκισμένῳ τῆς ἡμετέρας ἐνόψεως, ἐμοὶ δέ, ἅτε σμικρὼ ὄντε τὼ ὀφθαλμώ, τοῦ πελάγους τέως ἐκείνου οὐκ ἐφικνεῖσθον. ἀλλὰ καὶ τοῦτο ὁρᾶν δοκεῖτον ἐγγὺς σοῦ λίαν παντελῶς τε ἅπτεσθαι αὐτοῦ καὶ θιγγάνειν. |
| Themistius Εἰς Θεοδόσιον· τίς ἡ βασιλικωτάτη τῶν ἀρετῶν 189a8–b1<br>Καὶ κινδυνεύει ὁ θεῖος Πλάτων παρ' Ὁμήρου αὐτὸ μεμαθηκέναι· καὶ γὰρ ἐκεῖνος τὴν δικαιοσύνην μετὰ φρονήσεως ὁμοίωσιν λέγει πρὸς τὸν θεόν. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **145** | Plato *Respublica* 551c2–11<br>Πρῶτον μέν, ἔφην, τοῦτο αὐτό, ὅρος αὐτῆς οἷός ἐστιν. ἄθρει γάρ, εἰ νεῶν οὕτω τις ποιοῖτο κυβερνήτας, ἀπὸτιμημάτων, τῷ δὲ πένητι, εἰ καὶ κυβερνητικώτερος εἴη, μὴ ἐπιτρέποι – Πονηράν, ἦ δ' ὅς, τὴν ναυτιλίαν αὐτοὺς ναυτίλλεσθαι. Οὐκοῦν καὶ περὶ ἄλλου οὕτως ὁτουτοῦν [ἤ τινος] ἀρχῆς; Οἶμαι ἔγωγε. Πλὴν πόλεως; ἦν δ' ἐγώ· ἢ καὶ πόλεως πέρι; Πολύ γ', ἔφη, μάλιστα, ὅσῳ χαλεπωτάτη καὶ μεγίστη ἡ ἀρχή. |
| **146** | Plato *Respublica* 551a1–6<br>Τιμωμένου δὴ πλούτου ἐν πόλει καὶ τῶν πλουσίων ἀτιμοτέρα ἀρετή τε καὶ οἱ ἀγαθοί. Δῆλον. Ἀσκεῖται δὴ τὸ ἀεὶ τιμώμενον, ἀμελεῖται δὲ τὸ ἀτιμαζόμενον. Οὕτω. |
| **147** | Plato *Leges* 709e6–8<br>"Τυραννουμένην μοι δότε τὴν πόλιν," φήσει· "τύραννος δ' ἔστω νέος καὶ μνήμων καὶ εὐμαθὴς καὶ ἀνδρεῖος καὶ μεγαλοπρεπὴς φύσει· [...]." |
| **148** | Plato *Respublica* 354b1–c1<br>ἀλλ' ὥσπερ οἱ λίχνοι τοῦ ἀεὶ παραφερομένου ἀπογεύονται ἁρπάζοντες, πρὶν τοῦ προτέρου μετρίως ἀπολαῦσαι, καὶ ἐγώ μοι δοκῶ οὕτω, πρὶν ὃ τὸ πρῶτον ἐσκοποῦμεν εὑρεῖν, τὸ δίκαιον ὅτι ποτ' ἐστίν, ἀφέμενος ἐκείνου ὁρμῆσαι ἐπὶ τὸ σκέψασθαι περὶ αὐτοῦ εἴτε κακία ἐστὶν καὶ ἀμαθία, εἴτε σοφία καὶ ἀρετή, καὶ ἐμπεσόντος αὖ ὕστερον λόγου, ὅτι λυσιτελέστερον ἡ ἀδικία τῆς δικαιοσύνης, οὐκ ἀπεσχόμην τὸ μὴ οὐκ ἐπὶ τοῦτο ἐλθεῖν ἀπ' ἐκείνου, ὥστε μοι νυνὶ γέγονεν ἐκ τοῦ διαλόγου μηδὲν εἰδέναι· |
| **149** | Plato *Phaedrus* 237a7–b1<br>Ἄγετε δή, ὦ Μοῦσαι, εἴτε δι' ᾠδῆς εἶδος λίγειαι, εἴτε διὰ γένος μουσικὸν τὸ Λιγύων ταύτην ἔσχετ' ἐπωνυμίαν, "ξύμ μοι λάβεσθε" τοῦ μύθου, ὅν με ἀναγκάζει ὁ βέλτιστος οὑτοσὶ λέγειν, ἵν' ὁ ἑταῖρος αὐτοῦ, καὶ πρότερον δοκῶν τούτῳ σοφὸς εἶναι, νῦν ἔτι μᾶλλον δόξῃ. |
| **150** | Plato *Timaeus* 17a4–5<br>Ἀσθένειά τις αὐτῷ συνέπεσεν, ὦ Σώκρατες· οὐ γὰρ ἂν ἑκὼν τῆσδε ἀπελείπετο τῆς συνουσίας. |
| **151** | Plato *Timaeus* 17c10–18a2<br>Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα, μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν ὡς ἄρ' αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πρᾴως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν καὶ φύσει φίλοις οὖσιν, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσιν τῶν ἐχθρῶν γιγνομένους. |
| **152** | Plato *Timaeus* 17c10–18a2<br>Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα, μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν ὡς ἄρ' αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πρᾴως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν καὶ φύσει φίλοις οὖσιν, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσιν τῶν ἐχθρῶν γιγνομένους. |
| **153** | Plato *Timaeus* 17c10 -18a2<br>Καὶ κατὰ φύσιν δὴ δόντες τὸ καθ' αὑτὸν ἑκάστῳ πρόσφορον ἓν μόνον ἐπιτήδευμα, μίαν ἑκάστῳ τέχνην, τούτους οὓς πρὸ πάντων ἔδει πολεμεῖν, εἴπομεν ὡς ἄρ' αὐτοὺς δέοι φύλακας εἶναι μόνον τῆς πόλεως, εἴτε τις ἔξωθεν ἢ καὶ τῶν ἔνδοθεν ἴοι κακουργήσων, δικάζοντας μὲν πρᾴως τοῖς ἀρχομένοις ὑπ' αὐτῶν καὶ φύσει φίλοις οὖσιν, χαλεποὺς δὲ ἐν ταῖς μάχαις τοῖς ἐντυγχάνουσιν τῶν ἐχθρῶν γιγνομένους. |

| **Textpassage der Paraphrase** |
|---|
| Themistius Εἰς Θεοδόσιον· τίς ἡ βασιλικωτάτη τῶν ἀρετῶν 195d1–2<br>Ὅπερ οὖν ἐν νηὶ κυβερνητικὴ τέχνη ἐστί, τοῦτο ἐν πόλει ἀρχικὴ ἀρετή. |
| Themistius Χαριστήριος τῷ αὐτοκράτορι ὑπὲρ τῆς εἰρήνης καὶ τῆς ὑπατείας τοῦ στρατηγοῦ Σατορνίνου 204a4–5<br>ἀσκεῖται γάρ, φησὶν ὁ θεσπέσιος Πλάτων, τὸ τιμώμενον, τὸ δὲ ἀτιμαζόμενον ὀλιγωρεῖται. |
| Themistius Ἐπὶ τῇ χειροτονίᾳ τῆς πολιαρχίας 215b6–c4<br>ἐῶ γὰρ τὸν θεσπέσιον Πλάτωνα, ὃς εὔξατο μὲν βασιλέα τοιοῦτον εὑρήσειν, ᾧ κοινωνήσει τῶν δημοσίων φροντίδων, διήμαρτε δὲ τῆς εὐχῆς, καὶ ζητῶν, ὡς αὐτός πού φησι, νέον, σώφρονα, πρᾷον, ἥμερον, μεγαλοπρεπῆ, μεγαλόφρονα, ἄντικρυς Θεοδόσιον, τρὶς ἐξέπεσεν εἰς Διονύσιον καὶ Σικελίαν, ἔρωτι βασιλείας ἀληθινῆς εἰς τυραννικὴν περιωθούμενος συνουσίαν. |
| Themistius Περὶ τῆς τοῦ βασιλέως φιληκοΐας 220a6–b4<br>καὶ αὖθις ὅτε τὰ πρῶτα ἀφεὶς τὰ δεύτερα μεταχειρίζομαι, τρίτος τις καὶ τέταρτος ἀριθμὸς ἐπιὼν ἐκθλίβει τὴν ἐπὶ τοῖς προειρημένοις τριβήν. πάσχω οὖν ὅπερ οἱ λίχνοι τῶν δαιτυμόνων, ἀπογεύομαι ἀεὶ τοῦ παραφερομένου ἁρπάζων, ἐμπίπλαμαι δὲ οὐδενὸς ἱκανῶς· |
| Themistius Ἐπὶ τῇ φιλανθρωπίᾳ τοῦ αὐτοκράτορος Θεοδοσίου 228a9–b2<br>Δεῦρ’ ἴτε οὖν, ὦ φίλαι Μοῦσαι, αἳ τὸν νεὼν τὸν βουλαῖον ἡμῖν συνοικεῖτε, καί μοι συλλάβεσθε τοῦ ὕμνου, ὃν ἀπάρχομαι αὐτῷ ἐπὶ τῇ ἔναγχος φιλανθρωπίᾳ. |
| Proclus *In Platonis Timaeum commentaria* 1,18,31–19,6<br>Ὁ μὲν φιλόσοφος Π ο ρ φ ύ ρ ι ο ς καθῆκον ὑπογράφεσθαί φησιν ἐν τούτοις τό τε μίαν ταύτην αἰτίαν εἶναι τοῖς ἔμφροσι τῆς τῶν τοιούτων συνουσιῶν ἀπολείψεως ἀσθένειαν τοῦ σώματος καὶ ὡς χρὴ πᾶν τοῦτο περιστατικὸν νομίζειν καὶ ἀκούσιον, καὶ αὖ ἕτερον τὸ τοὺς φίλους ὑπὲρ τῶν φίλων τὰς ἐνδεχομένας ἀπολογίας ποιεῖσθαι, ὅταν τι δοκῶσι παρὰ τὸ κοινῇ δόξαν <οὐ> ὀρθῶς ποιεῖν· |
| Proclus *In Platonis Timaeum commentaria* 1,35,14–18<br>Πρῶτον μὲν τὴν λέξιν διχῶς ἀναγνωστέον· ἢ γὰρ ὅτι κατὰ φύσιν ἔδομεν ἓν ἑκάστῳ τῶν πολιτῶν ἐπιτήδευμα, ἵνα ἕκαστος οἰκεῖον ἔργον ἔχῃ πράττειν, ἢ ὅτι τὸ κατὰ φύσιν ἑκάστῳ ἐπιτήδευμα ἐπιτηδεύειν ἔδομεν, ὃ ἑκάστῳ προσήκει κατὰ τὴν παροῦσαν ἐπιτηδειότητα τῆς φύσεως. |
| Proclus *In Platonis Timaeum commentaria* 1.35.14<br>Πρῶτον μὲν τὴν λέξιν διχῶς ἀναγνωστέον· ἢ γὰρ ὅτι κατὰ φύσιν ἔδομεν ἓν ἑκάστῳ τῶν πολιτῶν ἐπιτήδευμα, ἵνα ἕκαστος οἰκεῖον ἔργον ἔχῃ πράττειν, ἢ ὅτι τὸ κατὰ φύσιν ἑκάστῳ ἐπιτήδευμα ἐπιτηδεύειν ἔδομεν, ὃ ἑκάστῳ προσήκει κατὰ τὴν παροῦσαν ἐπιτηδειότητα τῆς φύσεως. |
| Proclus *In Platonis Timaeum commentaria* 1,37,7–10<br>Ἐν οἷς βούλεται τοὺς φύλακας καὶ ἐπικούρους δικαστὰς μὲν εἶναι τῶν ἔνδον, εἴ τις κακουργοίη τὴν πόλιν, ἀγωνιστὰς δὲ πρὸς τοὺς ἔξω, τρόπον μὲν ἄλλον τοὺς ἐπικούρους, τρόπον δὲ ἄλλον τοὺς φύλακας, ὡς εἴρηται πρότερον. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **154** | Plato *Timaeus* 18a9–10<br>Τί δὲ τροφήν; ἆρ’ οὐ γυμναστικῇ καὶ μουσικῇ μαθήμασίν τε ὅσα προσήκει τούτοις, ἐν ἅπασι τεθράφθαι; |
| **155** | Plato *Timaeus* 18c1–4<br>Καὶ μὲν δὴ καὶ περὶ γυναικῶν ἐπεμνήσθημεν, ὡς τὰς φύσεις τοῖς ἀνδράσιν παραπλησίας εἴη συναρμοστέον, καὶ τὰ ἐπιτηδεύματα πάντα κοινὰ κατά τε πόλεμον καὶ κατὰ τὴν ἄλλην δίαιταν δοτέον πάσαις. |
| **156** | Plato *Timaeus* 19a3–5<br>ἐπαυξανομένων δὲ σκοποῦντας ἀεὶ τοὺς ἀξίους πάλιν ἀνάγειν δεῖν, τοὺς δὲ παρὰ σφίσιν ἀναξίους εἰς τὴν τῶν ἐπανιόντων χώραν μεταλλάττειν; |
| **157** | Plato *Timaeus* 19b4–c1<br>προσέοικεν δὲ δή τινί μοι τοιῷδε τὸ πάθος, οἷον εἴ τις ζῷα καλά που θεασάμενος, εἴτε ὑπὸ γραφῆς εἰργασμένα εἴτε καὶ ζῶντα ἀληθινῶς ἡσυχίαν δὲ ἄγοντα, εἰς ἐπιθυμίαν ἀφίκοιτο θεάσασθαι κινούμενά τε αὐτὰ καί τι τῶν τοῖς σώμασιν δοκούντων προσήκειν κατὰ τὴν ἀγωνίαν ἀθλοῦντα· |
| **158** | Plato *Timaeus* 19e2–8<br>τὸ δὲ τῶν σοφιστῶν γένος αὖ πολλῶν μὲν λόγων καὶ καλῶν ἄλλων μάλ’ ἔμπειρον ἥγημαι, φοβοῦμαι δὲ μή πως, ἅτε πλανητὸν ὂν κατὰ πόλεις οἰκήσεις τε ἰδίας οὐδαμῇ διῳκηκός, ἄστοχον ἅμα φιλοσόφων ἀνδρῶν ᾖ καὶ πολιτικῶν, ὅσ’ ἂν οἷά τε ἐν πολέμῳ καὶ μάχαις πράττοντες ἔργῳ καὶ λόγῳ προσομιλοῦντες ἑκάστοις πράττοιεν καὶ λέγοιεν. |
| **159** | Plato *Timaeus* 20a1 -5<br>Τίμαιός τε γὰρ ὅδε, εὐνομωτάτης ὢν πόλεως τῆς ἐν Ἰταλίᾳ Λοκρίδος, οὐσίᾳ καὶ γένει οὐδενὸς ὕστερος ὢν τῶν ἐκεῖ, τὰς μεγίστας μὲν ἀρχάς τε καὶ τιμὰς τῶν ἐν τῇ πόλει μετακεχείρισται, φιλοσοφίας δ’ αὖ κατ’ ἐμὴν δόξαν ἐπ’ ἄκρον ἁπάσης ἐλήλυθεν· |
| **160** | Plato *Timaeus* 20d7–e1<br>Ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς ὡς ὁ τῶν ἑπτὰ σοφώτατος Σόλων ποτ’ ἔφη. |
| **161** | Plato *Timaeus* 21e1–6<br>“”Εστιν τις κατ’ Αἴγυπτον,” ἦ δ’ ὅς, “ἐν τῷ Δέλτα, περὶ ὃν κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα Σαϊτικὸς ἐπικαλούμενος νομός, τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάις – ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς – οἷς τῆς πόλεως θεὸς ἀρχηγός τίς ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηίθ, Ἑλληνιστὶ δέ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ· […].” |
| **162** | Plato *Timaeus* 21e1–6<br>“”Εστιν τις κατ’ Αἴγυπτον,” ἦ δ’ ὅς, “ἐν τῷ Δέλτα, περὶ ὃν κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα Σαϊτικὸς ἐπικαλούμενος νομός, τούτου δὲ τοῦ νομοῦ μεγίστη πόλις Σάις – ὅθεν δὴ καὶ Ἄμασις ἦν ὁ βασιλεύς – οἷς τῆς πόλεως θεὸς ἀρχηγός τίς ἐστιν, Αἰγυπτιστὶ μὲν τοὔνομα Νηίθ, Ἑλληνιστὶ δέ, ὡς ὁ ἐκείνων λόγος, Ἀθηνᾶ· […].” |

| **Textpassage der Paraphrase** |
|---|
| Proclus *In Platonis Timaeum commentaria* 1,40,23–41,5<br>τίς οὖν ἡ τροφὴ καὶ πῶς εἴκασται πρὸς τὸ πᾶν; ὅτι μὲν γὰρ ἐν τῇ πόλει παιδεία τίς ἐστι τῆς ψυχῆς τὸ μὲν ἄλογον ῥυθμίζουσα διὰ μουσικῆς καὶ γυμναστικῆς τῆς μὲν χαλώσης τοῦ θυμοῦ τὸν τόνον, τῆς δὲ ἐγειρούσης τὴν ἐπιθυμίαν καὶ ὥσπερ ἐμμελῆ καὶ σύμμετρον αὐτὴν πρὸς τὸν θυμὸν ἀποτελούσης, ἄγαν ἐκλελυμένην διὰ τὴν πρὸς τὸ ἔνυλον κατάβασιν καὶ ἀζωΐας ἀναπλησθεῖσαν ἐκεῖθεν, τὸν δὲ λόγον διὰ τῶν μαθημάτων τῶν ἐχόντων ἕλκον τι καὶ ἀναμνηστικὸν τοῦ ὄντος καὶ τῶν ἀναγόντων τὸ ἐν ἡμῖν νοερὸν ἐπ’ αὐτὸ τὸ φανότατον τοῦ ὄντος, δῆλόν ἐστι τοῖς μὴ πάντη τῶν ἐκεῖ διατεταγμένων ἐν λήθῃ γεγονόσι· |
| Proclus *In Platonis Timaeum commentaria* 1,46,1–4<br>Τὸ κοινὰς εἶναι τὰς ἀρετὰς ἀνδρῶν τε καὶ γυναικῶν Πλάτωνι μὲν εἰκότως ἤρεσεν ἓν εἶδος ἀποφαινομένῳ τὸ ἀνθρώπειον, ἀλλ’ οὐχ ἕτερον μὲν τὸ ἄρρεν, ἕτερον δὲ τὸ θῆλυ τιθεμένῳ· |
| Proclus *In Platonis Timaeum commentaria* 1,53,15–18<br>αὐξανομένων γὰρ τῶν κάτω τικτομένων ἁπλῶς ἢ κάτω γενομένων ἄνωθεν σκοπεῖν <δεῖν> τὰς φύσεις αὐτῶν, ποῖαί τινές εἰσι, καὶ οὕτως ἐπανάγειν τοὺς ἀξίους. |
| Proclus *In Platonis Timaeum commentaria* 1,60,11–15<br>εἰ δὲ καὶ αὐτὴν τὴν εἰκόνα σκοπεῖν ἐπιχειροίης, τὰ μὲν καλὰ ζῷα τὰ τῷ κάλλει προλάμποντα δηλοῖ, τὰ δὲ ἐκ γραφῆς εἰργασμένα ἢ καὶ ζῶντα ἀληθινῶς τὰ καὶ σωματικὰς εἰκόνας ἐπιδεικνύμενα καὶ ζωὰς ἀληθινὰς πρὸ τούτων τῶν μιμημάτων· |
| Proclus *In Platonis Timaeum commentaria* 1,67,4–6<br>Οἱ σοφισταὶ μετεποιοῦντο πολλάκις οἳ μὲν ἀστρονομίας, οἳ δὲ γεωμετρίας, οἳ δὲ πολιτικῆς, οἳ δὲ διαιρετικῆς, καὶ διὰ τοῦτο λέγονται νῦν πολλοὺς ἔχειν καὶ καλοὺς λόγους. |
| Proclus *In Platonis Timaeum commentaria* 1,69,18–70,1<br>οὐχὶ πρῶτον μὲν πολιτικὴν τῷ Τιμαίῳ μεμαρτύρηκεν, ἔπειτα τὴν νοερὰν γνῶσιν, πάσης φιλοσοφίας ἐπ’ ἄκρον αὐτὸν εἰπὼν ἐληλυθέναι καὶ προσθεὶς ὅτι κατ’ ἐμὴν δόξαν, ὃ δὴ τὸν κολοφῶνα πᾶσιν ἐπέθηκε τοῖς ἐγκωμίοις; τίς δ’ ἂν τῆς εἰκόνος ταύτης ἐν ἀνθρώποις ἄλλη δύναιτο μᾶλλον ἀφομοιοῦσθαι πρὸς τὸν ἕνα δημιουργόν; πρῶτον μὲν γὰρ τῷ τε πολιτικῷ καὶ τῷ φιλοσόφῳ Διιός ἐστιν, ἔπειτα τῷ εὐνομωτάτης εἶναι πόλεως μιμεῖται τὸν ἐν τῷ νοητῷ τραφέντα ὑπὸ τῆς Ἀδραστείας θεόν, τῷ δὲ γένει διενηνοχέναι τὸ ὁλικὸν ἐκείνου καὶ νοερὸν καὶ ἑνιαῖον ἀπεικονίζεται· πάντα γὰρ ταῦτα κατὰ μετοχὴν ἔχει τῶν πρὸ αὐτοῦ πατέρων· τῷ δὲ τὰς μεγίστας ἀρχὰς μετακεχειρίσθαι τὸ βασιλικὸν ἐκείνου καὶ κρατητικὸν τῶν ὅλων, οὗ καὶ τὸ σκῆπτρον πισύρων καὶ εἴκοσι μέτρων ἐστὶ κατὰ τοὺς θεολόγους· |
| Proclus *In Platonis Timaeum commentaria* 1,76,10–17<br>οἳ δέ φασιν αὐτὴν μῦθον εἶναι καὶ πλάσμα γενόμενον μὲν οὐδαμῶς, ἔνδειξιν δὲ φέρον τῶν ἀεὶ ὄντων κατὰ τὸν κόσμον ἢ γιγνομένων, οὐδὲ τοῦ Πλάτωνος ἐπακούοντες οὗτοι βοῶντος, ὅτι μάλα μὲν ἄτοπος ὁ λόγος, παντάπασί γε μὴν ἀληθής· τὸ γὰρ παντάπασιν ἀληθὲς οὐ πῇ μέν ἐστιν ἀληθές, πῇ δὲ οὐκ ἀληθές, οὐδὲ ψεῦδος μὲν κατὰ τὸ φαινόμενον, ἀληθὲς δὲ κατὰ τὴν ὑπόνοιαν· οὐ γὰρ ἂν εἴη πάντη τὸ τοιοῦτον ἀληθές. |
| Proclus *In Platonis Timaeum commentaria* 1,95,3–7<br>Πρῶτον ἐκεῖνο κατιδεῖν ἄξιον, ὅπως ἀπὸ τῶν περιεκτικωτέρων ἀεὶ τὰ ἐμπεριεχόμενα παραδίδωσιν ὁ λόγος, ἀπὸ μὲν τῆς Αἰγύπτου τὸν ποταμόν, ἀπὸ δὲ τούτου τὸ Δέλτα καὶ ἀπὸ τούτου τὸν Σαϊτικὸν νομὸν καὶ ἀπὸ τούτου τὴν Σάιν τὴν τῆς Ἀθηνᾶς ἱεράν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,96,8–14<br>τὸ δέ γε Δέλτα γίγνεται μὲν τοῦ Νείλου σχιζομένου περὶ τὸν Σαϊτικὸν νομὸν ἀπὸ μιᾶς εὐθείας ἐπὶ δεξιὰ καὶ ἀριστερὰ καὶ ἐπὶ θάλατταν ἐξιόντος, ὥστε τοῦ τριγώνου τὴν ὑποτείνουσαν εἶναι τὴν θάλασσαν· ὃ καὶ ὁ Πλάτων τὸν Σαϊτικὸν εἶπε νομὸν ἐν τούτοις ἐνδεικνύμενος εἶναι περὶ ὃν κατὰ κορυφὴν σχίζεται τὸ τοῦ Νείλου ῥεῦμα. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **163** | Plato *Timaeus* 21e7–22a4<br>οἷ δὴ Σόλων ἔφη πορευθεὶς σφόδρα τε γενέσθαι παρ' αὐτοῖς ἔντιμος, καὶ δὴ καὶ τὰ παλαιὰ ἀνερωτῶν ποτε τοὺς μάλιστα περὶ ταῦτα τῶν ἱερέων ἐμπείρους, σχεδὸν οὔτε αὑτὸν οὔτε ἄλλον Ἕλληνα οὐδένα οὐδὲν ὡς ἔπος εἰπεῖν εἰδότα περὶ τῶν τοιούτων ἀνευρεῖν. |
| **164** | Plato *Timaeus* 22b4–c3<br>'Ὦ Σόλων, Σόλων, Ἕλληνες ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐκ ἔστιν.' Ἀκούσας οὖν, 'Πῶς τί τοῦτο λέγεις;' φάναι. 'Νέοι ἐστέ,' εἰπεῖν, 'τὰς ψυχὰς πάντες· οὐδεμίαν γὰρ ἐν αὐταῖς ἔχετε δι' ἀρχαίαν ἀκοὴν παλαιὰν δόξαν οὐδὲ μάθημα χρόνῳ πολιὸν οὐδέν. τὸ δὲ τούτων αἴτιον τόδε. πολλαὶ κατὰ πολλὰ φθοραὶ γεγόνασιν ἀνθρώπων καὶ ἔσονται, πυρὶ μὲν καὶ ὕδατι μέγισται, μυρίοις δὲ ἄλλοις ἕτεραι βραχύτεραι. [...].' |
| **165** | Plato *Timaeus* 22c3–d3<br>τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς συνέκαυσεν καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δὲ ἀληθές ἐστι τῶν περὶ γῆν κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. |
| **166** | Plato *Timaeus* 22c3–d3<br>τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς συνέκαυσεν καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δὲ ἀληθές ἐστι τῶν περὶ γῆν κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. |
| **167** | Plato *Timaeus* 22c3–d5<br>τὸ γὰρ οὖν καὶ παρ' ὑμῖν λεγόμενον, ὥς ποτε Φαέθων Ἡλίου παῖς τὸ τοῦ πατρὸς ἅρμα ζεύξας διὰ τὸ μὴ δυνατὸς εἶναι κατὰ τὴν τοῦ πατρὸς ὁδὸν ἐλαύνειν τά τ' ἐπὶ γῆς συνέκαυσεν καὶ αὐτὸς κεραυνωθεὶς διεφθάρη, τοῦτο μύθου μὲν σχῆμα ἔχον λέγεται, τὸ δὲ ἀληθές ἐστι τῶν περὶ γῆν κατ' οὐρανὸν ἰόντων παράλλαξις καὶ διὰ μακρῶν χρόνων γιγνομένη τῶν ἐπὶ γῆς πυρὶ πολλῷ φθορά. τότε οὖν ὅσοι κατ' ὄρη καὶ ἐν ὑψηλοῖς τόποις καὶ ἐν ξηροῖς οἰκοῦσιν μᾶλλον διόλλυνται τῶν ποταμοῖς καὶ θαλάττῃ προσοικούντων· |
| **168** | Plato *Timaeus* 22d5–6<br>ἡμῖν δὲ ὁ Νεῖλος εἴς τε τἆλλα σωτὴρ καὶ τότε ἐκ ταύτης τῆς ἀπορίας σῴζει λυόμενος. |
| **169** | Plato *Timaeus* 22d6–e2<br>ὅταν δ'αὖ θεοὶ τὴν γῆν ὕδασιν καθαίροντες κατακλύζωσιν, οἱ μὲν ἐν τοῖς ὄρεσιν διασῴζονται βουκόλοι νομῆς τε, οἱ δ' ἐν ταῖς παρ' ὑμῖν πόλεσιν εἰς τὴν θάλατταν ὑπὸ τῶν ποταμῶν φέρονται· |
| **170** | Plato *Timaeus* 22e2–4<br>κατὰ δὲ τήνδε χώραν οὔτε τότε οὔτε ἄλλοτε ἄνωθεν ἐπὶ τὰς ἀρούρας ὕδωρ ἐπιρρεῖ, τὸ δ' ἐναντίον κάτωθεν πᾶν ἐπανιέναι πέφυκεν. |
| **171** | Plato *Timaeus* 22e5–a1<br>τὸ δὲ ἀληθές, ἐν πᾶσιν τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων. |
| **172** | Plato *Timaeus* 22e5<br>τὸ δὲ ἀληθές, ἐν πᾶσιν τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων. |

| **Textpassage der Paraphrase** |
|---|
| Proclus *In Platonis Timaeum commentaria* 1,99,30–100,2<br>Διὰ μὲν τὴν ἑαυτοῦ φρόνησιν ὁ Σόλων τὴν πολιτικὴν καὶ διὰ τὴν τῆς πόλεως ἀξίαν εἰκότως ἔντιμος ἐφάνη παρὰ τοῖς ἱερεῦσι τῆς Σάεως· ὡς δὲ πρὸς τὴν παρ’ ἐκείνοις μνήμην καὶ ἱστορίαν οὔτε αὐτὸν οὔτε ἄλλον οὐδένα τῶν Ἑλλήνων εὕρισκε γιγνώσκοντα τῶν παλαιῶν οὐδέν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,102,10–22<br>αἰτιᾶται δὲ τοὺς Ἕλληνας ὡς ἀεὶ παῖδας, διότι τὴν παντοίαν Αἰγυπτίων σοφίαν οὐ μετῄεσαν, ἀλλ’ οἱ πλεῖστοι παρ’ αὐτοῖς τὴν ἀνδραποδώδη τρίχα ἔφερον ἐν ταῖς ψυχαῖς. τὴν οὖν ἀφροσύνην αὐτῶν ἡ νεότης ἐνδείκνυται· ἢ καὶ διότι συνεχεῖς εἰσιν αἱ παρ’ αὐτοῖς φθοραί, καὶ πρὶν ἀρχαῖοι γένωνται οἱ ὄντες, γίγνονται νέοι πάλιν διὰ τῆς φθορᾶς· ἢ καὶ ὅτι τὰ παλαιὰ ἔργα οὐ σῴζεται παρ’ αὐτοῖς, ἀλλ’ ἀεὶ τὰ παρόντα καὶ ὅσα ἡ αἴσθησις ὑποβάλλει γινώσκουσιν, Αἰγυπτίοις δὲ ἄρα καὶ τὰ γεγονότα διὰ τῆς μνήμης ἀεὶ νέα πάρεστιν, ἡ δὲ μνήμη διὰ τῆς ἱστορίας, αὕτη δὲ ἀπὸ τῶν στηλῶν ἐν αἷς ἀπεγράφοντο τὰ παράδοξα καὶ τὰ θαύματος ἄξια τῶν πραγμάτων εἴτε ἐν πράξεσιν εἴτε ἐν εὑρέσεσιν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,109,9–15<br>ἡ μὲν οὖν ἱστορία φησίν, ὅτι Φαέθων, Ἡλίου παῖς καὶ τῆς Ὠκεανοῦ Κλυμένης, τὸ τοῦ πατρὸς ἅρμα ἐλαύνων ἐξετράπετο τῆς ὁδοῦ, καὶ ὁ Ζεὺς περὶ τῷ παντὶ δείσας ἐκεραύνωσεν αὐτόν, ὃ δὲ κεραυνωθεὶς κατέπεσεν ἐπὶ τὸν Ἠριδανόν, καὶ ἔφλεξε πάντα τὸ ἐξ αὐτοῦ πῦρ ἐπιβοσκηθὲν τὴν γῆν, πεσόντα δὲ αὐτὸν αἱ ἀδελφαὶ αἱ Ἡλιάδες ἐθρήνουν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,114,25–28<br>Ὅσον ἐστὶν ἀπὸ τοῦ μύθου τῷ προκειμένῳ συντελοῦν, τοσοῦτο μόνον ὁ Αἰγύπτιος ἐξέφηνεν, ὅτι δὴ γίγνονται διὰ πυρὸς ἀθρόαι φθοραὶ τῶν ἐπὶ γῆς διὰ τὴν τῶν περὶ γῆν ἰόντων κατ’ οὐρανὸν παράλλαξιν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,116,26–27<br>οἱ γὰρ τοῖς ὕδασι παροικοῦντες ἀμύνονται τὴν ἀπὸ τοῦ πυρὸς βλάβην. |
| Proclus *In Platonis Timaeum commentaria* 1,118,1–2<br>Τὸ μὲν φαινόμενον, ὅτι πολλῶν καὶ παντοδαπῶν ἀγαθῶν τοῖς Αἰγυπτίοις ὁ Νεῖλος αἴτιος· |
| Proclus *In Platonis Timaeum commentaria* 1,118,21–24<br>καὶ γὰρ καθαρμὸς ὃ μὲν γίνεται δι’ ὕδατος , ὃ δὲ διὰ πυρός, πανταχοῦ δὲ ἡ καθαρότης τοῖς δευτέροις ἀπὸ τῶν πρώτων, διὸ καὶ παρὰ τῷ Ὀρφεῖ τὰ καθάρσια κομίζειν ὁ Ζεὺς ἀπὸ τῆς Κρήτης παρακελεύεται· |
| Proclus *In Platonis Timaeum commentaria* 1,119,12–15<br>Εἰ καὶ γίγνοιντό ποτε ὄμβροι περὶ τὴν Αἴγυπτον, ἀλλ’ οὐ περὶ πᾶσαν, ἀλλὰ περὶ τὴν κάτω γίγνεσθαι εἰώθασιν· αὕτη δὲ ἐπίδηλός ἐστιν ἔργον οὖσα τοῦ ποταμοῦ φησιν Ἀριστοτέλης· ἡ δὲ ἄνω τὰς τοιαύτας ἐπιρροὰς οὐ δέχεται. |
| Proclus *In Platonis Timaeum commentaria* 1,122,5–7<br>πᾶς τόπος μὴ κατακλυζόμενος ἢ ἐκπυρούμενος ἔχει περιλειπόμενον ἀεὶ γένος ἀνθρώπων πλέον ἢ ἔλαττον· |
| Proclus *In Platonis Timaeum commentaria* 1,122,18–20<br>ὡς δὲ ὁ ἑταῖρος ἡμῶν ἐπέβαλε, λέγοι ἂν ὁ Πλάτων, ὅτι πᾶς τόπος τῆς γῆς ἀεὶ ἔχει ἀνθρώπους πλείους ἢ ἐλάττους ὁ μὴ ἄγαν κρυμώδης ἢ ἄγαν αὐχμώδης. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **173** | Plato *Timaeus* 22e5–23a1<br>τὸ δὲ ἀληθές, ἐν πᾶσιν τοῖς τόποις ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει, πλέον, τοτὲ δὲ ἔλαττον ἀεὶ γένος ἐστὶν ἀνθρώπων. |
| **174** | Plato *Timaeus* 23a1–5<br>ὅσα δὲ ἢ παρ' ὑμῖν ἢ τῇδε ἢ καὶ κατ' ἄλλον τόπον ὧν ἀκοῇ ἴσμεν, εἴ πού τι καλὸν ἢ μέγα γέγονεν ἢ καί τινα διαφορὰν ἄλλην ἔχον, πάντα γεγραμμένα ἐκ παλαιοῦ τῇδ' ἐστὶν ἐν τοῖς ἱεροῖς καὶ σεσωσμένα· |
| **175** | Plato *Timaeus* 23a5–b3<br>τὰ δὲ παρ' ὑμῖν καὶ τοῖς ἄλλοις ἄρτι κατεσκευασμένα ἑκάστοτε τυγχάνει γράμμασι καὶ ἅπασιν ὁπόσων πόλεις δέονται, καὶ πάλιν δι' εἰωθότων ἐτῶν ὥσπερ νόσημα ἥκει φερόμενον αὐτοῖς ῥεῦμα οὐράνιον καὶ τοὺς ἀγραμμάτους τε καὶ ἀμούσους ἔλιπεν ὑμῶν ὥστε πάλιν ἐξ ἀρχῆς οἷον νέοι γίγνεσθε, οὐδὲν εἰδότες οὔτε τῶν τῇδε οὔτε τῶν παρ' ὑμῖν, ὅσα ἦν ἐν τοῖς παλαιοῖς χρόνοις. |
| **176** | Plato *Timaeus* 23b3–c3<br>τὰ γοῦν νυνδὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων, οἳ πρῶτον μὲν ἕνα γῆς κατακλυσμὸν μέμνησθε πολλῶν ἔμπροσθεν γεγονότων, ἔτι δὲ τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ παρ' ὑμῖν οὐκ ἴστε γεγονός, ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἔστιν τὰ νῦν ὑμῶν, περιλειφθέντος ποτὲ σπέρματος βραχέος, ἀλλ' ὑμᾶς λέληθεν διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασιν τελευτᾶν ἀφώνους. |
| **177** | Plato *Timaeus* 23b3–c3<br>τὰ γοῦν νυνδὴ γενεαλογηθέντα, ὦ Σόλων, περὶ τῶν παρ' ὑμῖν ἃ διῆλθες, παίδων βραχύ τι διαφέρει μύθων, οἳ πρῶτον μὲν ἕνα γῆς κατακλυσμὸν μέμνησθε πολλῶν ἔμπροσθεν γεγονότων, ἔτι δὲ τὸ κάλλιστον καὶ ἄριστον γένος ἐπ' ἀνθρώπους ἐν τῇ χώρᾳ παρ' ὑμῖν οὐκ ἴστε γεγονός, ἐξ ὧν σύ τε καὶ πᾶσα ἡ πόλις ἔστιν τὰ νῦν ὑμῶν, περιλειφθέντος ποτὲ σπέρματος βραχέος, ἀλλ' ὑμᾶς λέληθεν διὰ τὸ τοὺς περιγενομένους ἐπὶ πολλὰς γενεὰς γράμμασιν τελευτᾶν ἀφώνους. |
| **178** | Plato *Timaeus* 23c3–6<br>ἦν γὰρ δή ποτε, ὦ Σόλων, ὑπὲρ τὴν μεγίστην φθορὰν ὕδασιν ἡ νῦν Ἀθηναίων οὖσα πόλις ἀρίστη πρός τε τὸν πόλεμον καὶ κατὰ πάντα εὐνομωτάτη διαφερόντως· |
| **179** | Plato *Timaeus* 23d4–e2<br>Φθόνος οὐδείς, ὦ Σόλων, ἀλλὰ σοῦ τε ἕνεκα ἐρῶ καὶ τῆς πόλεως ὑμῶν, μάλιστα δὲ τῆς θεοῦ χάριν, ἣ τήν τε ὑμετέραν καὶ τήνδε ἔλαχεν καὶ ἔθρεψεν καὶ ἐπαίδευσεν, προτέραν μὲν τὴν παρ' ὑμῖν ἔτεσιν χιλίοις, ἐκ Γῆς τε καὶ Ἡφαίστου τὸ σπέρμα παραλαβοῦσα ὑμῶν, τήνδε δὲ ὑστέραν. |
| **180** | Plato *Timaeus* 23e2–6<br>τῆς δὲ ἐνθάδε διακοσμήσεως παρ' ἡμῖν ἐν τοῖς ἱεροῖς γράμμασιν ὀκτακισχιλίων ἐτῶν ἀριθμὸς γέγραπται. περὶ δὴ τῶν ἐνακισχίλια γεγονότων ἔτη πολιτῶν σοι δηλώσω διὰ βραχέων νόμους, καὶ τῶν ἔργων αὐτοῖς ὃ κάλλιστον ἐπράχθη· |
| **181** | Plato *Timaeus* 24a3–b1<br>πολλὰ γὰρ παραδείγματα τῶν τότε παρ' ὑμῖν ὄντων ἐνθάδε νῦν ἀνευρήσεις, πρῶτον μὲν τὸ τῶν ἱερέων γένος ἀπὸ τῶν ἄλλων χωρὶς ἀφωρισμένον, μετὰ δὲ τοῦτο τὸ τῶν δημιουργῶν, ὅτι καθ' αὑτὸ ἕκαστον ἄλλῳ δὲ οὐκ ἐπιμειγνύμενον δημιουργεῖ , τό τε τῶν νομέων καὶ τὸ τῶν θηρευτῶν τό τε τῶν γεωργῶν. |

| **Textpassage der Paraphrase** |
|---|
| Proclus *In Platonis Timaeum commentaria* 1,122,25–123,4<br>τὸ γὰρ ὅπου μὴ χειμὼν ἐξαίσιος ἢ καῦμα ἀπείργει σημαίνειν δοκεῖ τὸ ὅπου μὴ θάτερον τῶν ἐναντίων ὑπερβάλλον κωλύει τὴν ἐνοίκησιν, καὶ ὅλως ἐπειδὴ προεῖπεν, ὅτι παλαιότατα λέγεται τὰ Αἰγυπτίων, εἰκότως ἐπήνεγκεν, ὅτι δὲ κατὰ τὸ ἀληθὲς πᾶν μὲν κλίμα πρὸς ἀνθρώπων οἴκησιν σύμμετρον ἀεὶ πλείους ἢ ἐλάττους ἀνθρώπους ἔχει – καὶ γὰρ οὐ μόνον οἱ μαθηματικοὶ λέγουσι περὶ τοῦ μὴ πᾶν κλίμα γῆς ἀνθρώπους ἔχειν, ἀλλὰ καὶ Ὀρφεὺς οὑτωσὶ διορίζων· |
| Proclus *In Platonis Timaeum commentaria* 1,123,21–29<br>Ὥσπερ τὴν σωτηρίαν τοῖς Αἰγυπτίοις παρεῖχε μὲν καὶ ἡ τῆς χώρας θέσις, παρεῖχε δὲ καὶ ὁ εἰληχὼς αὐτὴν θεός, οὕτω δὴ καὶ τὴν σωτηρίαν τῶν γιγνομένων ποιοῦνται μὲν καὶ διὰ τὴν ἑαυτῶν ἐπιμέλειαν, δι᾿ ἣν παραμυθοῦνται τὴν ἀπὸ τοῦ χρόνου λήθην, ἀρκοῦνται δὲ καὶ ἀπὸ τῶν παρ᾿ αὐτοῖς ἱερῶν, ἐν οἷς ἀναγράφονται τὰς πράξεις πάσας τὰς μεγάλας καὶ θαυμαστάς, τάς τε ἑαυτῶν καὶ τῶν ἄλλων, καὶ τὰς παραδόξους ἐκβάσεις τῶν πραγμάτων· τοῦτο γάρ ἐστι τὸ καὶ ἄλλην τινὰ διαφορὰν ἔχον. |
| Proclus *In Platonis Timaeum commentaria* 1,126,7–11<br>ἀγράμματοι οὖν οἱ λειπόμενοι καὶ ἄμουσοι, καὶ διὰ μὲν τὸ πρότερον οὐ δύνανται διὰ γραμμάτων μνήμῃ παραδοῦναι τὰ τῆς προλαβούσης περιόδου, διὰ δὲ τὸ ὕστερον οὐδὲ ἐν ᾄσμασιν ἢ μέλεσιν ἱκανοὶ διασώσασθαι τὰ προβεβιωμένα τυγχάνουσιν· |
| Proclus *In Platonis Timaeum commentaria* 1,127,4–5<br>Τὰ σεμνὰ καὶ παμπάλαια διηγήματα τοῦ Σόλωνος παιδικοῖς ὁ Αἰγύπτιος παραβάλλει μύθοις· |
| Proclus *In Platonis Timaeum commentaria* 1,127,21–23<br>Τὸν γὰρ ἐπὶ Δευκαλίωνος κατακλυσμὸν ἐθρύλουν ἄνω καὶ κάτω, πολλῶν καὶ ἄλλων προγενομένων, ὥς φησιν ὁ Αἰγύπτιος. |
| Proclus *In Platonis Timaeum commentaria* 1,128,23–26<br>πολεμικωτάτην δὲ καὶ εὐνομωτάτην τὴν Ἀθηναίων πόλιν ὡς μίμημα οὖσαν τῆς ἐφόρου θεᾶς, ἣν φιλόσοφον καὶ φιλοπόλεμον ἐρεῖ προελθών· |
| Proclus *In Platonis Timaeum commentaria* 1,135,31–136,5<br>ἀπὸ μὲν γὰρ τοῦ πολίτου διὰ τῆς πόλεως ἐπὶ τὴν πολιοῦχον ἀναδραμὼν ἐπιστροφὴν ἐποιεῖτό τινα ταύτην, ἀπὸ δὲ τῆς θεοῦ πάλιν ἐπί τε τὰ πρώτως αὐτῆς μετέχοντα καὶ τὰ δευτέρως ἐλθὼν πρόοδον ἐμιμεῖτο τὴν ἀπ᾿ αὐτῆς, πάλιν δὲ αὖ τὰ μετέχοντα καὶ τρέφεσθαι καὶ παιδεύεσθαι παρὰ τῆς θεοῦ θέμενος ἐπέστρεψε καὶ ταῦτα πρὸς αὐτήν. |
| Proclus *In Platonis Timaeum commentaria* 1,146,4–7<br>Τοῖς μὲν Ἀθηναίοις τὸν ἐννακισχίλια ἀριθμὸν ἀποδέδωκεν ἐκ τῆς ἱστορίας καὶ τοῦτο λαβών, τοῖς δὲ Σαΐταις τὸν ὀκτακισχίλια κατὰ τὰ ἐν τοῖς ἱεροῖς γράμματα, τῇ χιλιάδι μετρῶν τοὺς βίους τῶν πόλεων· |
| Proclus *In Platonis Timaeum commentaria* 1,155,14–17<br>πάλιν δὲ καὶ ἐν τούτοις πρόσκειται τὸ μὴ ἐπιμίγνυσθαι τὸ δημιουργικὸν τοῖς ἄλλοις μηδὲ ἐκεῖνα παραπλησίως αὐτοῖς, ἀλλ᾿ ἕκαστον ἐφ᾿ ἑαυτοῦ μένειν καὶ τῆς ἑαυτοῦ καθαρότητος· |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **182** | Plato *Timaeus* 24b1–3<br>καὶ δὴ καὶ τὸ μάχιμον γένος ᾔσθησαί που τῇδε ἀπὸ πάντων τῶν γενῶν κεχωρισμένον, οἷς οὐδὲν ἄλλο πλὴν τὰ περὶ τὸν πόλεμον ὑπὸ τοῦ νόμου προσετάχθη μέλειν· |
| **183** | Plato *Timaeus* 24c4–7<br>ταύτην οὖν δὴ τότε σύμπασαν τὴν διακόσμησιν καὶ σύνταξιν ἡ θεὸς προτέρους ὑμᾶς διακοσμήσασα κατῴκισεν, ἐκλεξαμένη τὸν τόπον ἐν ᾧ γεγένησθε, τὴν εὐκρασίαν τῶν ὡρῶν ἐν αὐτῷ κατιδοῦσα, ὅτι φρονιμωτάτους ἄνδρας οἴσοι· |
| **184** | Plato *Phaedo* 61c6–d5<br>τί δέ; ἦ δ᾽ ὅς, οὐ φιλόσοφος Εὔηνος; ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. ἐθελήσει τοίνυν καὶ Εὔηνος καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι. Καὶ ἅμα λέγων ταῦτα καθῆκε τὰ σκέλη ἐπὶ τὴν γῆν, καὶ καθεζόμενος οὕτως ἤδη τὰ λοιπὰ διελέγετο. ἤρετο οὖν αὐτὸν ὁ Κέβης· πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ᾽ ἂν τῷ ἀποθνῄσκοντι τὸν φιλόσοφον ἕπεσθαι; |
| **185** | Plato *Theaetetus* 173c6–174a2<br>λέγωμεν δή, ὡς ἔοικεν, ἐπεὶ σοί γε δοκεῖ, περὶ τῶν κορυφαίων· τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ λέγοι; οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον ἢ βουλευτήριον ἤ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε ὁρῶσιν οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιριῶν ἐπ᾽ ἀρχὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς. εὖ δὲ ἢ κακῶς τις γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. καὶ ταῦτα πάντ᾽ οὐδ᾽ ὅτι οὐκ οἶδεν, οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ ἡ δὲ διάνοια, ταῦτα πάντα ἡγησαμένη σμικρὰ καὶ οὐδέν, ἀτιμάσασα πανταχῇ πέτεται κατὰ Πίνδαρον “τᾶς τε γᾶς ὑπένερθε” καὶ τὰ ἐπίπεδα γεωμετροῦσα, “οὐρανοῦ θ᾽ ὕπερ” ἀστρονομοῦσα, καὶ πᾶσαν πάντῃ φύσιν ἐρευνωμένη τῶν ὄντων ἑκάστου ὅλου, εἰς τῶν ἐγγὺς οὐδὲν αὑτὴν συγκαθιεῖσα. |
| **186** | Plato *Respublica* 407c7–e2<br>Οὐκοῦν ταῦτα γιγνώσκοντα φῶμεν καὶ Ἀσκληπιὸν τοὺς μὲν φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ἔχοντας τὰ σώματα, νόσημα δέ τι ἀποκεκριμένον ἴσχοντας ἐν αὑτοῖς, τούτοις μὲν καὶ ταύτῃ τῇ ἕξει καταδεῖξαι ἰατρικήν, φαρμάκοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν τὴν εἰωθυῖαν προστάττειν δίαιταν, ἵνα μὴ τὰ πολιτικὰ βλάπτοι, τὰ δ᾽ εἴσω διὰ παντὸς νενοσηκότα σώματα οὐκ ἐπιχειρεῖν διαίταις κατὰ σμικρὸν ἀπαντλοῦντα καὶ ἐπιχέοντα μακρὸν καὶ κακὸν βίον ἀνθρώπῳ ποιεῖν, καὶ ἔκγονα αὐτῶν, ὡς τὸ εἰκός, ἕτερα τοιαῦτα φυτεύειν, ἀλλὰ τὸν μὴ δυνάμενον ἐν τῇ καθεστηκυίᾳ περιόδῳ ζῆν μὴ οἴεσθαι δεῖν θεραπεύειν, ὡς οὔτε αὑτῷ οὔτε πόλει λυσιτελῆ; |
| **187** | Plato *Phaedo* 61d3–5<br>Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δὲ ἂν τῷ ἀποθνῄσκοντι τὸν φιλόσοφον ἕπεσθαι; |
| **188** | Plato *Phaedo* 61d6–7<br>οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες; |
| **189** | Plato *Phaedo* 62d3–7<br>τὸ γὰρ μὴ ἀγανακτεῖν τοὺς φρονιμωτάτους ἐκ ταύτης τῆς θεραπείας ἀπιόντας, ἐν ᾗ ἐπιστατοῦσιν αὐτῶν οἵπερ ἄριστοί εἰσιν τῶν ὄντων ἐπιστάται, θεοί, οὐκ ἔχει λόγον· οὐ γάρ που αὐτός γε αὑτοῦ οἴεται ἄμεινον ἐπιμελήσεσθαι ἐλεύθερος γενόμενος. |
| **190** | Plato *Philebus* 20d4–10<br>Σω. τί δέ; ἱκανὸν τἀγαθόν; Πρώ. πῶς γὰρ οὔ; καὶ πάντων γε εἰς τοῦτο διαφέρειν τῶν ὄντων. ὡς πᾶν τὸ γιγνῶσκον αὐτὸ θηρεύει καὶ ἐφίεται βουλόμενον ἑλεῖν καὶ περὶ αὑτὸ κτήσασθαι, καὶ τῶν ἄλλων οὐδὲν φροντίζει πλὴν τῶν ἀποτελουμένων ἅμα ἀγαθοῖς. |

| **Textpassage der Paraphrase** |
|---|
| Proclus *In Platonis Timaeum commentaria* 1,155,30–156,2<br>Πανταχοῦ μέν, μάλιστα δὲ ἐπὶ τοῦ μαχίμου γένους οἰκεῖόν ἐστι τὸ τῆς ἀμιξίας καὶ τὸ τῆς διακρίσεως· πρὸς γὰρ τὴν ἄχραντον τάξιν ἔχει συγγενῶς καὶ τὴν ἀποτέμνουσαν τὸ ἔνυλον πᾶν καὶ ἀφανίζουσαν τὸ πλημμελές. εἰκότως ἄρα καὶ τούτῳ τῷ γένει τὰ περὶ τὸν πόλεμον μέλει· |
| Proclus *In Platonis Timaeum commentaria* 1,160,12–13<br>τὸ δὲ τὴν διακόσμησιν τὴν ἐν τάξει τῆς Ἀθηναϊκῆς προνοίας διανομὴν ἐνδείκνυται· |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 1,1,3<br>Εἰπὼν ὁ Σωκράτης ὅτι εἰ φιλοσοφεῖ ὁ Εὔηνος ἐθελήσει ἀποθνῄσκειν, ἵνα μὴ δόξῃ διὰ τούτων παρεγγυᾶν ἡμῖν τῷ ἑκουσίῳ θανάτῳ, φησὶν ὅτι ‘οὐ μέντοι ἴσως βιάσεται ἑαυτόν· καὶ γὰρ ἀνόσιον τὸ ἐξαγαγεῖν ἑαυτόν’. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 1,2,14–16<br>οὕτω γὰρ καὶ ἐν τῷ Θεαιτήτῳ ὑποτίθεται τὸν κορυφαῖον φιλόσοφον μηδὲ ὁποῖός ἐστιν εἰδότα, ἀλλὰ καὶ ἀγνοοῦντα ὅτι ἀγνοεῖ, καίτοι ἐν τῷ σώματι ὄντα. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 1,8,11–14<br>τῷ μέσῳ, ὡς ἐν Πολιτείᾳ λέγων ὅτι δεῖ τὸν νόσῳ ἀνιάτῳ καὶ μακρᾷ κατεχόμενον ἐξάγειν ἑαυτὸν ὡς ἄχρηστον ὄντα τῇ πόλει, διότι βούλεται ὁ Πλάτων τοὺς ἑαυτοῦ πολίτας τῇ πόλει χρησίμους εἶναι καὶ οὐχ ἑαυτοῖς· |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 1,12,3–5<br>δύο ὄντων προβλημάτων, τοῦ τε μὴ δεῖν ἐξάγειν ἑαυτὸν καὶ τοῦ ἐθέλειν ἀποθνῄσκειν, ὁ μὲν Σωκράτης προτάττει τὸ θέλειν ἀποθνῄσκειν τοῦ μὴ ἐξάγειν ἑαυτόν. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 1,13,2<br>ἐρωτᾷ εἰ οὐδὲν τοιοῦτον ἤκουσαν παρὰ τοῦ Φιλολάου. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 2,9,2–3<br>κρεῖττον τὸ ὑπὸ θεοῦ ἡμᾶς ἐπιμελεῖσθαι ἢ ὑφ' ἑαυτῶν, καὶ τὸ τοιοῦτον ἑτεροκίνητον ἄμεινόν ἐστι τοῦ αὐτοκινήτου. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 3,3,9–13<br>ἔδειξε τὴν ψυχὴν ἀθάνατον ὁρισάμενος τὸν κατηγορούμενον ὅρον μέσον ὄντα τὸ αὐτοκίνητον, ἐν δέ γε τῷ Φιλήβῳ τὴν ἡδονὴν ἔδειξεν ἀγαθὸν εἰπὼν τὸν ὁρισμὸν τοῦ ἀγαθοῦ, ὅτι, εἰ ἀγαθόν ἐστιν ἐφ’ ὃ πάντα θεῖ, καὶ ἡ ἡδονὴ ἀγαθόν, πᾶν γὰρ ζῷον τῆς ἡδονῆς ἐφίεται· |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **191** | Plato *Phaedo* 64c4–8<br>ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ᾖ ὁ θάνατος ἢ τοῦτο; |
| **192** | Plato *Phaedo* 64c4–8<br>ἆρα μὴ ἄλλο τι ἢ τὴν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος ἀπαλλαγήν; καὶ εἶναι τοῦτο τὸ τεθνάναι, χωρὶς μὲν ἀπὸ τῆς ψυχῆς ἀπαλλαγὲν αὐτὸ καθ' αὑτὸ τὸ σῶμα γεγονέναι, χωρὶς δὲ τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἀπαλλαγεῖσαν αὐτὴν καθ' αὑτὴν εἶναι; ἆρα μὴ ἄλλο τι ᾖ ὁ θάνατος ἢ τοῦτο; |
| **193** | Plato *Theaetetus* 173c6–e1<br>λέγωμεν δή, ὡς ἔοικεν, ἐπεὶ σοί γε δοκεῖ, περὶ τῶν κορυφαίων· τί γὰρ ἄν τις τούς γε φαύλως διατρίβοντας ἐν φιλοσοφίᾳ λέγοι; οὗτοι δέ που ἐκ νέων πρῶτον μὲν εἰς ἀγορὰν οὐκ ἴσασι τὴν ὁδόν, οὐδὲ ὅπου δικαστήριον ἢ βουλευτήριον ἤ τι κοινὸν ἄλλο τῆς πόλεως συνέδριον· νόμους δὲ καὶ ψηφίσματα λεγόμενα ἢ γεγραμμένα οὔτε ὁρῶσιν οὔτε ἀκούουσι· σπουδαὶ δὲ ἑταιριῶν ἐπ' ἀρχὰς καὶ σύνοδοι καὶ δεῖπνα καὶ σὺν αὐλητρίσι κῶμοι, οὐδὲ ὄναρ πράττειν προσίσταται αὐτοῖς. εὖ δὲ ἢ κακῶς τις γέγονεν ἐν πόλει, ἤ τί τῳ κακόν ἐστιν ἐκ προγόνων γεγονὸς ἢ πρὸς ἀνδρῶν ἢ γυναικῶν, μᾶλλον αὐτὸν λέληθεν ἢ οἱ τῆς θαλάττης λεγόμενοι χόες. καὶ ταῦτα πάντ' οὐδ' ὅτι οὐκ οἶδεν, οἶδεν· οὐδὲ γὰρ αὐτῶν ἀπέχεται τοῦ εὐδοκιμεῖν χάριν, ἀλλὰ τῷ ὄντι τὸ σῶμα μόνον ἐν τῇ πόλει κεῖται αὐτοῦ καὶ ἐπιδημεῖ... |
| **194** | Plato *Respublica* 327a1–5<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. καλὴ μὲν οὖν μοι καὶ ἡ τῶν ἐπιχωρίων πομπὴ ἔδοξεν εἶναι, [...] |
| **195** | Plato *Respublica* 327a1–3<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. |
| **196** | Plato *Respublica* 327a1–3<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. |
| **197** | Plato *Respublica* 327a1–3<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. |
| **198** | Plato *Respublica* 327a1–3<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. |
| **199** | Plato *Respublica* 327a1–3<br>κατέβην χθὲς εἰς Πειραιᾶ μετὰ Γλαύκωνος τοῦ Ἀρίστωνος προσευξόμενός τε τῇ θεῷ καὶ ἅμα τὴν ἑορτὴν βουλόμενος θεάσασθαι τίνα τρόπον ποιήσουσιν ἅτε νῦν πρῶτον ἄγοντες. καλὴ μὲν οὖν μοι καὶ ἡ τῶν ἐπιχωρίων πομπὴ ἔδοξεν εἶναι, οὐ μέντοι ἧττον ἐφαίνετο πρέπειν ἣν οἱ Θρᾷκες ἔπεμπον. προσευξάμενοι δὲ καὶ θεωρήσαντες ἀπῇμεν πρὸς τὸ ἄστυ. |
| **200** | Plato *Respublica* 328d2–4<br>ὡς εὖ ἴσθι ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί. |

| Textpassage der Paraphrase |
|---|
| Olympiodorus *In Platonis Phaedonem commentaria* 3,13,2–3<br>ἰδοὺ τὸν θάνατον ὡρίσατο οὐ μόνον τὸ χωρισθῆναι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, ἀλλὰ καὶ τὸ χωρισθῆναι τὸ σῶμα ἀπὸ τῆς ψυχῆς· |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 4,1,7–8<br>ὁ χωρίζων ἑαυτὸν ἀποθνῄσκειν ἐθέλει, οὐδὲν γὰρ ἦν ὁ θάνατος ἢ χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. |
| Olympiodorus *In Platonis Phaedonem commentaria* 6,3,13–14<br>ὥσπερ φησὶν περὶ τοῦ κορυφαίου φιλοσόφου ὅτι ἀγνοεῖ ὅποι γῆς ἐστιν, καὶ ἀγνοεῖ ὅτι ἀγνοεῖ. |
| Theodoretus *Graecarum affectionum curatio*12,26,4–6<br>ποτὲ μὲν ἐν ἄστει διέτριβε, ποτὲ δὲ εἰς Πειραιᾶ κατιὼν τὰς πομπὰς ἐθεώρει· |
| Athanasius *Contra gentes* 10,34–37<br>καὶ τό γε θαυμαστόν, ὅτι καὶ ὁ πάνυ παρ' Ἕλλησι σοφὸς καὶ πολλὰ καυχησάμενος ὡς περὶ Θεοῦ διανοηθείς, ὁ Πλάτων, εἰς τὸν Πειραῖα μετὰ Σωκράτους κατέρχεται, τὴν ἀνθρώπου τέχνῃ πλασθεῖσαν Ἄρτεμιν προσκυνήσων. |
| Eusebius *Praeparatio evangelica* 13,14,3,9–13<br>ὡς μὴ διατρέπεσθαι τὸν Σωκράτην καταβῆναι φάντα εἰς Πειραιᾶ προσευξόμενον τῇ θεῷ καὶ τὴν βάρβαρον ἑορτὴν τοὺς πολίτας τότε πρῶτον ἐπιτελοῦντας θεασόμενον καὶ τὸν ἀλεκτρυόνα τῷ Ἀσκληπιῷ θῦσαι ὁμολογοῦντα προστάξαι τόν τε πάτριον Ἑλλήνων ἐξηγητήν, τὸν ἐγκαθήμενον Δελφοῖς δαίμονα, θειάζοντα. |
| Origenes *Contra Celsum* 6,4,1–4<br>Ἀλλ' οἱ τοιαῦτα περὶ τοῦ πρώτου ἀγαθοῦ γράψαντες καταβαίνουσιν "εἰς Πειραιέα", προσευξόμενοι ὡς θεῷ τῇ Ἀρτέμιδι καὶ ὀψόμενοι τὴν ὑπὸ ἰδιωτῶν ἐπιτελουμένην πανήγυριν· |
| Maximus *Dialexeis* 5,8a1–3<br>Ἀλλὰ Σωκράτης εἰς Πειραιᾶ κατῄει προσευξόμενος τῇ θεῷ, καὶ τοὺς ἄλλους προετρέπετο, καὶ ἦν ὁ βίος Σωκράτει μεστὸς εὐχῆς.' |
| Proclus *In Platonis rem publicam commentarii* 1,19,19–23<br>καὶ δεῖ καὶ τούτοις ἐκπληροῦν τὰ καθήκοντα τὸν ἔχοντα νοῦν, βλέπειν δὲ εἰς ἐκεῖνα καὶ ἐπιστρέφειν ὅτι τάχιστα, καθάπερ ὁ Σωκράτης ἐποίησεν, τῆς μὲν ἐν τούτοις ἑορτῆς μετασχών, προσευξάμενος δὲ καὶ θεωρήσας οἴκαδε εὐθὺς ὁρμήσας. |
| Anaximenes *Fragmenta* 2a, 72, f. 38,1–5<br>τοῖς γὰρ ἀστείοις πρεσβύταις ὅσον αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι πάλιν αὔξονται, καὶ τοσούτωι βεβαιότερον αὐτοῖς παρέχει τὸ λέγειν τί χρήσιμον τοῖς ἄλλοις καὶ παρ' ἑτέρων αὐτοὺς ἀκούειν· |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **201** | Plato *Respublica* 329b6–c4<br>νῦν δ’ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· ‘πῶς,’ ἔφη, ‘ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι’; καὶ ὅς, ‘εὐφήμει,’ ἔφη, ‘ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς.’ |
| **202** | Plato *Respublica* 329b6–c4<br>νῦν δ’ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· ‘πῶς,’ ἔφη, ‘ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι’; καὶ ὅς, ‘εὐφήμει,’ ἔφη, ‘ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς.’ |
| **203** | Plato *Respublica* 329b6–c4<br>νῦν δ’ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· ‘πῶς,’ ἔφη, ‘ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι’; καὶ ὅς, ‘εὐφήμει,’ ἔφη, ‘ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς.’ |
| **204** | Plato *Respublica* 329b6–c4<br>νῦν δ’ ἔγωγε ἤδη ἐντετύχηκα οὐχ οὕτως ἔχουσιν καὶ ἄλλοις, καὶ δὴ καὶ Σοφοκλεῖ ποτε τῷ ποιητῇ παρεγενόμην ἐρωτωμένῳ ὑπό τινος· ‘πῶς,’ ἔφη, ‘ὦ Σοφόκλεις, ἔχεις πρὸς τἀφροδίσια; ἔτι οἷός τε εἶ γυναικὶ συγγίγνεσθαι’; καὶ ὅς, ‘εὐφήμει,’ ἔφη, ‘ὦ ἄνθρωπε· ἁσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον, ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποδράς.’ |
| **205** | Plato *Respublica* 329e6–7<br>καὶ λέγουσι μέν τι, οὐ μέντοι γε ὅσον οἴονται· |
| **206** | Plato *Respublica* 329e7–330a3<br>ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι ὅτι οὐ δι’ αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο ὅτι οὔτ’ ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο οὔτ’ ἐκεῖνος Ἀθηναῖος. |
| **207** | Plato *Respublica* 329e7–330a3<br>ἀλλὰ τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὃς τῷ Σεριφίῳ λοιδορουμένῳ καὶ λέγοντι ὅτι οὐ δι’ αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο ὅτι οὔτ’ ἂν αὐτὸς Σερίφιος ὢν ὀνομαστὸς ἐγένετο οὔτ’ ἐκεῖνος Ἀθηναῖος. |
| **208** | Plato *Respublica* 330d6–7<br>εὖ γὰρ ἴσθι, ἔφη, ὦ Σώκρατες, ὅτι, ἐπειδάν τις ἐγγὺς ᾖ τοῦ οἴεσθαι τελευτήσειν, εἰσέρχεται αὐτῷ δέος καὶ φροντὶς περὶ ὧν ἔμπροσθεν οὐκ εἰσῄει. |
| **209** | Plato *Respublica* 330d6–331a3<br>οἵ τε γὰρ λεγόμενοι μῦθοι περὶ τῶν ἐν Ἅιδου, ὡς τὸν ἐνθάδε ἀδικήσαντα δεῖ ἐκεῖ διδόναι δίκην, τότε δὴ στρέφουσιν αὐτοῦ τὴν ψυχὴν μὴ ἀληθεῖς ὦσιν· καὶ αὐτός [...] ὑποψίας δ’ οὖν καὶ δείματος μεστὸς γίγνεται καὶ ἀναλογίζεται ἤδη καὶ σκοπεῖ εἴ τινά τι ἠδίκησεν. ὁ μὲν οὖν εὑρίσκων ἑαυτοῦ ἐν τῷ βίῳ πολλὰ ἀδικήματα καὶ ἐκ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, θαμὰ ἐγειρόμενος δειμαίνει καὶ ζῇ μετὰ κακῆς ἐλπίδος· τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον συνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ ‘γηροτρόφος’, ὡς καὶ Πίνδαρος λέγει. |
| **210** | Plato *Respublica* 331a1–3<br>τῷ δὲ μηδὲν ἑαυτῷ ἄδικον συνειδότι ἡδεῖα ἐλπὶς ἀεὶ πάρεστι καὶ ἀγαθὴ ‘γηροτρόφος’, ὡς καὶ Πίνδαρος λέγει. |

| **Textpassage der Paraphrase** |
|---|
| Plutarchus *De cupiditate divitiarum* 525a9–12<br>Ὁ Σοφοκλῆς ἐρωτηθείς, εἰ δύναται γυναικὶ πλησιάζειν, ‘εὐφήμει, ἄνθρωπε’ εἶπεν ‘ἐλεύθερος γέγονα λυττῶντας καὶ ἀγρίους δεσπότας διὰ τὸ γῆρας ἀποφυγών.’ |
| Clemens Alexandrinus *Paedagogus* 2,10,95,1,1–2,1<br>Ἀστεῖος οὖν μάλα ἐκεῖνος ὁ πρὸς τὸν ἐρόμενον πῶς ἔχοι πρὸς τὰ ἀφροδίσια, “εὐφήμει”, φήσας, “ἄνθρωπε, ἀσμενέστατα μέντοι αὐτὰ ἀπέφυγον ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην.” |
| Olympiodorus *In Platonis Gorgiam commentaria* 5,10,6–9<br>πῶς γὰρ ἐλευθερίας ἐστὶν αἴτιος ὁ τὴν ἑαυτοῦ δουλείαν μὴ ἀποβάλλων, λέγω δὴ τὴν τῶν παθῶν; ὡς γὰρ εἴρηται ἐν ταῖς Πολιτείαις ὑπὸ τοῦ Σοφοκλέους, λυττῶντι κυνὶ καὶ ἀγρίῳ δεσπότῃ τὰ πάθη ἐοίκασιν. |
| Plutarchus *Non posse suaviter vivi secundum Epicurum* 1094e8–f1<br>διαπορεῖ γοῦν, εἰ γέρων ὁ σοφὸς ὢν καὶ μὴ δυνάμενος πλησιάζειν ἔτι ταῖς τῶν καλῶν ἁφαῖς χαίρει καὶ ψηλαφήσεσιν, οὐ τὰ αὐτὰ μέντοι Σοφοκλεῖ διανοούμενος ἀσμένως ἐκφυγόντι τὴν ἡδονὴν ταύτην ὥσπερ ἄγριον καὶ λυττῶντα δεσπότην. |
| Proclus *In Platonis Alcibiadem i* 12,10–11<br>καὶ λέγουσι μέν τι διαιροῦντες εἰς ταῦτα τὸν διάλογον, οὐ μέντοι ὅσον γε οἴονται· |
| Origenes *Contra Celsum* 1,29,32–39<br>Ὁ μὲν οὖν παρὰ τῷ Πλάτωνι Σερίφιος ὀνειδίζων τῷ Θεμιστοκλεῖ, διαβοήτῳ γεγενημένῳ ἐπὶ τῇ στρατηγίᾳ, ὡς οὐκ ἐκ τοῦ ἰδίου ἤθους τὸ ἔνδοξον ἀνειληφότι ἀλλ’ ἐκ τοῦ εὐτυχηκέναι πατρίδος τῆς ἐν ὅλῃ Ἑλλάδι ἐπισημοτάτης, ἀκήκοεν ἀπὸ εὐγνωμονοῦντος Θεμιστοκλέους καὶ ὁρῶντος ὅτι συνεβάλετο αὐτῷ πρὸς τὸ ἔνδοξον καὶ ἡ πατρίς, ὅτι “Οὐκ ἂν ἐγὼ Σερίφιος ὢν οὕτως ἔνδοξος ἐγεγόνειν, οὔτε σὺ Ἀθηναῖος εὐτυχήσας γενέσθαι ἐγένου ἂν Θεμιστοκλῆς”· |
| Plutarchus *Themistocles* 18,5,1–4<br>Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος ὡς οὐ δι’ αὑτὸν ἔσχηκε δόξαν, ἀλλὰ διὰ τὴν πόλιν, ‘ἀληθῆ λέγεις’ εἶπεν· ‘ἀλλ’ οὔτ’ ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος.’ |
| Choricius *Opera* 29,2,2,1–4<br>ἕως μὲν οὖν οὔπω φοιτῆσαν ὑπῆρχεν ἐνταῦθα <τὸ> λόγιον, δέος εἰσῄει μοι καὶ φροντίς, μὴ τοῦ χρησμοῦ τὴν διάνοιαν συσκιάσῃ πως ὁ θεὸς καὶ τέκῃ διαφόρους ἡμῖν λογισμοὺς τὸ τῆς μαντείας ποικίλον· |
| Choricius *Opera* 7,1,3,1–5<br>ὥστε νοσοῦσαν ἐκείνην οὐδὲν εἰσῄει δεινὸν οὐδὲ λογισμὸς ἔστρεφεν αὐτῇ τὴν ψυχήν, μή τινά που λελύπηκεν, οὐδὲ τῶν ὕπνων, ὥσπερ οἱ παῖδες, πυκνῶς ἐξεπήδα νυττομένη τῷ συνειδότι, ἀλλὰ γλυκεῖα παρῆν ἀπὸ τῶν ἔργων ἐλπὶς καὶ ἡγεμὼν ἀγαθὴ πρὸς τὴν ὡρισμένην πᾶσιν ἀποδημίαν. |
| Themistius Πενταετηρικός 101b1–7<br>Περὶ φύσεως βασιλικῆς καὶ αὐτὸς οὕτω γινώσκων τυγχάνω, καὶ ἐπαινῶ Πίνδαρον τὸν ποιητήν, ὡς ἄρα οὐ πᾶσιν ἀνθρώποις ὁμοίως ἐν ἀγαθῇ μοίρᾳ τὸ προελθεῖν εἰς χρόνον πλείω τὸν βίον, ἀλλὰ μόνοις τοῖς ζῆν μετὰ δικαιοσύνης προαιρουμένοις. καὶ τούτοις ἐλπὶς γλυκεῖα συνδιαιτᾶται καὶ ἀγαθὴ γηροτρόφος, παραπέμπουσα μετ’ εὐφροσύνης εἰς τὸ τῆς φύσεως καταγώγιον. |

| Nr. | Textpassage bei Platon |
|---|---|
| **211** | Plato *Respublica* 331c5–9<br>πᾶς ἄν που εἴποι, εἴ τις λάβοι παρὰ φίλου ἀνδρὸς σωφρονοῦντος ὅπλα, εἰ μανεὶς ἀπαιτοῖ, ὅτι οὔτε χρὴ τὰ τοιαῦτα ἀποδιδόναι, οὔτε δίκαιος ἂν εἴη ὁ ἀποδιδούς, οὐδ' αὖ πρὸς τὸν οὕτως ἔχοντα πάντα ἐθέλων τἀληθῆ λέγειν. |
| **212** | Plato *Respublica* 335d3–8<br>οὐ γὰρ θερμότητος οἶμαι ἔργον ψύχειν ἀλλὰ τοῦ ἐναντίου. ναί. οὐδὲ ξηρότητος ὑγραίνειν ἀλλὰ τοῦ ἐναντίου. πάνυ γε. οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν ἀλλὰ τοῦ ἐναντίου. φαίνεται. |
| **213** | Plato *Respublica* 335d3–8<br>οὐ γὰρ θερμότητος οἶμαι ἔργον ψύχειν ἀλλὰ τοῦ ἐναντίου. ναί. οὐδὲ ξηρότητος ὑγραίνειν ἀλλὰ τοῦ ἐναντίου. πάνυ γε. οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν ἀλλὰ τοῦ ἐναντίου. φαίνεται. |
| **214** | Plato *Respublica* 335d3–12<br>οὐ γὰρ θερμότητος οἶμαι ἔργον ψύχειν ἀλλὰ τοῦ ἐναντίου. ναί. οὐδὲ ξηρότητος ὑγραίνειν ἀλλὰ τοῦ ἐναντίου. πάνυ γε. οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν ἀλλὰ τοῦ ἐναντίου. φαίνεται. ὁ δέ γε δίκαιος ἀγαθός; πάνυ γε. οὐκ ἄρα τοῦ δικαίου βλάπτειν ἔργον, ὦ Πολέμαρχε, οὔτε φίλον οὔτ' ἄλλον οὐδένα, ἀλλὰ τοῦ ἐναντίου, τοῦ ἀδίκου. |
| **215** | Plato *Respublica* 335d3–8<br>οὐ γὰρ θερμότητος οἶμαι ἔργον ψύχειν ἀλλὰ τοῦ ἐναντίου. ναί. οὐδὲ ξηρότητος ὑγραίνειν ἀλλὰ τοῦ ἐναντίου. πάνυ γε. οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν ἀλλὰ τοῦ ἐναντίου. φαίνεται. |
| **216** | Plato *Respublica* 335d3–12<br>οὐ γὰρ θερμότητος οἶμαι ἔργον ψύχειν ἀλλὰ τοῦ ἐναντίου. ναί. οὐδὲ ξηρότητος ὑγραίνειν ἀλλὰ τοῦ ἐναντίου. πάνυ γε. οὐδὲ δὴ τοῦ ἀγαθοῦ βλάπτειν ἀλλὰ τοῦ ἐναντίου. φαίνεται. ὁ δέ γε δίκαιος ἀγαθός; πάνυ γε. οὐκ ἄρα τοῦ δικαίου βλάπτειν ἔργον, ὦ Πολέμαρχε, οὔτε φίλον οὔτ' ἄλλον οὐδένα, ἀλλὰ τοῦ ἐναντίου, τοῦ ἀδίκου. |

| **Textpassage der Paraphrase** |
|---|
| Joannes Philoponus *In Aristotelis libros de anima commentaria* 15,555,21–23<br>οὐ γὰρ δεκτέον Πλάτωνα λέγοντα, ὅτι τὸ ὁμολογῆσαι τῷ μαινομένῳ τὴν παρακαταθήκην τοῦ ξίφους ἀληθὲς μὲν κακὸν δέ· |
| Proclus *In Platonis Timaeum commentaria* 1,375,22–26<br>δι᾽ ὧν καὶ ὅτι τὰ κακὰ θεόθεν οὐκ ἔστι, δεδήλωκεν – οὐ γὰρ πυρός, φασί, τὸ ψύχειν οὐδὲ χιόνος τὸ θερμαίνειν οὐδὲ τοῦ παναγάθου τὸ κακύνειν – καὶ ὅτι μερικὰ αὐτῶν αἴτια θετέον καὶ ταῦτα ἀόριστα· |
| Plutarchus *Non posse suaviter vivi secundum Epicurum* 1102d9–10<br>οὐδὲ γὰρ θερμοῦ τὸ ψύχειν ἀλλὰ <τὸ> θερμαίνειν, ὥσπερ οὐδ᾽ ἀγαθοῦ τὸ βλάπτειν. |
| Porphyrius *De abstinentia* 2,41,5–8<br>δέον ἐμπέδως πεπεῖσθαι ὅτι οὔτε τὸ ἀγαθὸν βλάπτει ποτὲ οὔτε τὸ κακὸν ὠφελεῖ· οὐ γὰρ θερμότητος, ὡς φησὶν Πλάτων, τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου· οὕτως οὐδὲ τοῦ δικαίου τὸ βλάπτειν. |
| Joannes Stobaeus *Anthologium* 2,9,7,18–20<br>Οὐ γὰρ θερμοῦ φησι τὸ ψύχειν ἀλλὰ τοὐναντίου, οὐδὲ ψυχροῦ τὸ θερμαίνειν ἀλλὰ τοὐναντίου· οὕτως οὖν οὐδὲ ἀγαθοποιοῦ τὸ κακοποιεῖν, ἀλλὰ τοὐναντίου. |
| Eusebius *Praeparatio evangelica* 4,22,8,4–9,1<br>τὸ μὲν γὰρ ποιητικὸν καὶ προσεξέκαυσεν τὰς ὑπολήψεις τῶν ἀνθρώπων τῷ χρῆσθαι φράσει πρὸς ἔκπληξιν καὶ γοητείαν πεποιημένῃ κήλησίν τε ἐμποιῆσαι καὶ πίστιν περὶ τῶν ἀδυνατωτάτων δυναμένῃ, δέον ἐμπέδως πεπεῖσθαι ὅτι οὔτε τὸ ἀγαθὸν βλάπτει ποτὲ οὔτε τὸ κακὸν ὠφελεῖ. οὐ γὰρ θερμότητος, ὥς φησιν Πλάτων, τὸ ψύχειν, ἀλλὰ τοῦ ἐναντίου οὐδὲ ψυχρότητος τὸ θερμαίνειν, ἀλλὰ τοῦ ἐναντίου· οὕτως οὐδὲ τοῦ δικαίου τὸ βλάπτειν. |